# ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΠΙΣΙΔΟΥ

## ΕΞΑΗΜΕΡΟΝ Η ΚΟΣΜΟΥΡΓΙΑ.

Ὦ Παντὸς ἔργου καὶ θεηγόρου λόγου.
Καὶ γλῶσσα καὶ νοῦ καὶ τροφὴ καὶ καρδία,
Τὰ ῥεῖθρα τῶν σῶν οὐρανοδρόμων λόγων
Εἰς τὴν ἄνικμον ἔμβαλε μου καρδίαν.
Αὐχμῷ γὰρ ἤδη τοῦ κατασχόντος ζόφου
Ἄφωνον εἶχον ἐξ ἀνάγκης τὸ στόμα,
Τῆς τοῦ λόγου σάλπιγγος ἐμπεφραγμένης.
Οὐδὲν γὰρ οὕτως ὡς ἀθυμίας νέφος
Χειμῶνα γεννᾷ καὶ νοημάτων ζάλην.
Καὶ συσκιάζει τοῦ λόγου τὸν ἥλιον.
Καὶ νύκτα ποιεῖ γνωστικῆς ἀβλεψίας,
Καὶ τοῦ λογισμοῦ συνθολοῖ τοὺς ἀστέρας.
Ἔσω δὲ πᾶσαν τὴν ἀχλὺν τῶν φροντίδων,
Καὶ τὴν ὁμίχλην τῶν φρενῶν ἐπιστρέφει,
Καὶ τῆς διόπτρας τὴν ὀπὴν ἀντιστρέφει,
Δι' ἧς τὰ μικρὰ τοῦ λόγου κινήματα.
Ὁ νοῦς θεωρεῖ γνωστικῶν ἐξ ὀργάνων.
Ἐπεὶ δὲ τῇ σῇ φωτοκόσμῳ λαμπάδι
Παρῆλθεν ἡ νὺξ, καὶ τὸ πνεῦμά σου φθάσαν
Τῷ τοῦ λογισμοῦ ἀντεφύσησεν νέφει,
Ἔλαμψε δ' ἡμῖν τὸ πρὸς εἰρήνην σέλας.
Ἥκω φέρων σοὶ τῆς ἐρήμου καρδίας.
Καρποὺς γεωργηθέντας ἐκ τῆς σῆς δρόσου.
Οὐκ ἦν γὰρ εἰκὸς τὴν βάτῳ πεφυρμένην
Ψυχὴν γεωργεῖν εὐφορώτατον στάχυν,
Εἰ μὴ φθάσας σὺ τοὺς ἀκανθώδεις ῥύπους
Ἀνεῖλες ἢ καθεῖλες, ἢ τομωτάτῳ
Τῆς σῆς προσευχῆς ἐξεχέρσωσας ξίφει.
Ἀλλ' ὦ γεωργὲ τῶν πετρῶν καὶ τῶν βάτων.
Σπείρεις γὰρ αὐτὸς κατὰ πετρῶν πολλάκις
Καὶ τεκνοποιεῖν ἐκβιάζῃ τοὺς λίθους.
Φύειν τε καρποὺς ἀξιοῖς καὶ τὰς βάτους·
Καὶ πτηνὸν οὐδὲν τὸν σὸν ἔνθεον σπόρον
Ἐκ τῶν ἀδήλων βόσκεται πετασμάτων.
Ἄρδευσον ἡμᾶς τῇ ῥοῇ τῶν δακρύων,
Ὅπως γένηται τέκνον ἐκ στείρας πάλιν,
Καὶ καρπὸς εὔφρων ἐξ ἀκάρπου καρδίας.
Ἐπεὶ δὲ φεύγεις τοὺς ἐπαίνους ὡς ψόγους,
Πρὸς τὸν σκοπὸν τὸ νεῦμα συντείνας ἔχω,
Τοῖς σοῖς πεποιθὼς μυστικοῖς ἀκοντίοις.

Πηγὴ μὲν οὖν πέφυκε τοῦ λόγου μία,
Φλέβες δὲ πολλαὶ τῶν ἀδήλων ὀμμάτων,
Δι' ὧν ὁ Δαβὶδ πᾶσαν ἀρδεύει φρένα,
Ταύτης τὰ ῥεῖθρα τῆς γραφῆς ἀναβρύων,
Ὡς ἐμεγαλύνθη τῶν σοφῶν σου κτισμάτων

Ἡ δημιουργὸς καὶ σοφὴ παντουργία.
Ὦ πλουσίων ἄβυσσος ἐννοημάτων,
Βοῶσα τοῖς θέλουσιν ἀντλῆσαι λόγους,
Ὅσους λαβεῖν χωροῦσιν, οὐχ ὅσους ἔχει.
Ἀλλ' ὦ σοφιστὰ Πρόκλε τῶν κάτω λόγων
Ὁ πολλὰ βροντῶν ἐκ νεφῶν λοξοδρόμων,
Ὁ πτωχόκομπος τῶν νοημάτων σάλος,
Ὁ πολλὰ τολμῶν εἰς ἀΐδιον κτίσιν,
Ἄκουε μικρῶν συλλαβῶν κράτος μέγα.



SISMANOGLIO

Καὶ πρίν σε γὰρ λέγουσι ταῦτα θαυμάσαι.
Τοῖς ὠσὶν ἐκθλίψαντα τοὺς λόγους μόνον·
Τὸ τῶν νοημάτων γὰρ ἐκφράσαι βάθος,
Εἰπὼν, ἀπειπὼν, ἀστατῶν ἀνετράπης,
Θάλπων τὸν ὄγκον εἰς κενὰς ὑποσχέσεις.
Οὐκ ἠγνόεις γὰρ δεινὸς ὢν λογογράφος,
Ὡς εἴγε κἂν κώνωπα τολμήσῃς φράσαι,
Αὐτός σε νύξας ἐκφοβήσῃ, σαλπίσας.
Καὶ μηδὲν ἡμῖν ὡς ἀκόμποις κομπάσῃς.
Εἰ ταῦτα φράζει Πρόκλος, ὀκνεῖ καὶ τρέμει·
Πίστις δὲ θαρρεῖ καὶ λαλεῖν καὶ συγγράφειν.
Ἀλλ', ὦ σοφιστὰ τῶν ξενοσπόρων λόγων,
Ἄκουε Πρόκλε, μηδὲ κομπάσῃς, ὅτι
Σοῦ τὴν ἀφορμὴν τοῦ σκοποῦ δεδωκότος,
Σιγῶσι Πρόκλοι καὶ λαλοῦσιν ἀγρόται.

Ὢ τὴν ἀνεξεύρητον ἣν ἔχεις φύσιν
Κρύψας ὀμίχλῃ καὶ περιστείλας γνόφῳ,
Ὅπως μάθοιμεν πῶς ἀεὶ κεκρυμμένη
Ἐκ τῶν ἑαυτῆς φαίνεται ποιημάτων.

Ὢ τὴν ἀκίνητον οὐρανοῦ στέγην
Τῷ σφαιρομόρφῳ τῶν σοφῶν εἰλημάτων
Ὕψει πλατύνας, καὶ τοσαύτῃ συντάσει
Βάθρον τεθεικὼς μηδαμοῦ πεπηγμένον.

Ὢ δέῤῥιν ὥσπερ ἐξαπλώσας τὸν πόλον·
Ὁ σὸς γὰρ Ὀρφεὺς τὴν θεόφθογγον λύραν
Κρούων ὁ Δαβὶδ, δέῤῥιν εἶπε τὸν πόλον·
Ὡς ἐκταθείσης πρὸς τὰ μήκη καὶ βάθη
Τῆς ἁπλότητος τῶν ἐν ὕψει σωμάτων.
Εἰ καὶ καπνοῦ δὲ τοῦτον ἐμφάσεις ἔχειν
Προβλεπτική τις εἶπεν ὀξυδερκία,
Κενεμβατούσης τῆς φορᾶς τῶν ὀμμάτων
Πρὸς τὴν ἀμυδρὰν τῆς ῥοπῆς θεωρίαν

Ἢ σφαῖραν ἡμίτμητον ἀψῖδος δίκην
Ὑψουμένην ἄνωθεν, ἢ κυρτουμένην,
Ἢ καὶ πρὸς αὐτὴν τὴν κάτω φορουμένην.
Ἐκ τῶν ἄνω γὰρ γνωστικῶν κυλισμάτων
Κάτωθεν ἄλλη φαίνεται κεκρυμμένη,
Ὅπως ἔχει στήριγμα τὴν ἐν σοὶ βάσιν.
Εἰς βάθρον ἀστήρικτον ἐστηριγμένη.
Ἄνω γὰρ ἦρται καὶ βαθύνεται κάτω.
Ἐκτείνεται δὲ πρὸς τὸ χάσμα τοῦ πλάτους
Ἴσας δὲ κύκλῳ τὰς ἀποστάσεις ἔχει.
Ἑστὼς δὲ φεύγει, καὶ διάττων προσμένει
Στάσιν δὲ τὴν κίνησιν ἀῤῥήτως ἔχει.
Τρέχει δὲ τῷ σύμπαντι τὴν ἐναντίαν.
Μήπως τὸ συγκίνημα τῶν ἐλασμάτων
Ὤθημα πάσχον ἐκραγῇ τῇ συντάσει.
Ἐν τοῖς ἐναντίοις γὰρ εἰκότως δρόμοις,
Ἡ τοῦ τάχους σύννευσις ἀντωθουμένη,
Παρακρατεῖ τὸ σφίγμα τῶν κυλισμάτων.
Μήπως καταχθῇ τῆς φορᾶς ἡ σφοδρότης
Ἐν τῇ κενώσει τῶν τομῶν καταδρόμων·
Ἀλλ' ὥσπερ εἰς σύνδεσμον ἀντεσφιγμένον
Τοῖς ἀνθελιγμοῖς συγκρατεῖται τοῦ τάχους.
Βάσει τρεχούσῃ καὶ φορᾷ πεπηγμένη.
Ἔστι δὲ πασῶν ἀκροτήτων ἀκρότης,
Ὅρος δὲ πάντων ἐστὶ τῶν ὁρισμάτων·
Ἀφίσταται δὲ τῶν ἀφεστώτων ὅλων,
Οὐδὲν δὲ τούτου μέτρον ὡς ἀμετρία.
Ἐντεῦθεν αὐτὸν ἐκπλαγέντες ὡς μέγαν,
Ὡς εὐρὺν, ὡς ἄπειρον, ὡς ἐπηρμένον,
Μύθους ἔπλαττον, ὡς ἀτλαντικοῖς πόνοις,
Μακρῶν ὑποστήριγμα κιόνων ἔχει·
Ἴσως τὰ μακρὰ τῆς ἀδηλίας βάθη



Στύλων ἀβάθρων ἐκτυποῦντες ἐμφάσει.
Μέγας γάρ ἐστιν ὡς Θεοῦ μικρὸς θρόνος·
Ἥβα δὲ γηρῶν, καὶ παρακμὴν οὐκ ἔχει,
Ἕως ὁ πηγνὺς αὐτὸν εἱλίξει λόγος.

Στολίζεται δὲ τὸν χιτῶνα τὸν μέγαν,
Τὸν ἀέρα κλωσθέντα κερκίδι ξένῃ·
Χυτὸν, διαυγῆ, λεπτὸν, ἠραιωμένον,
Εἰς πᾶσαν εἰσδύνοντα σωματουργίαν.
Προέρχεται δὲ νυμφικῶς ἐστεμμένος,
Λαβὼν διαυγεῖς μαργαρίτας ἀστέρας,
Ἔχει δὲ πρὸς τὰ στέρνα λυχνίτην ἕνα,
Ὡς πῦρ ἀποστίλβοντα πρὸς τὴν ἡμέραν.
Ἄλλον δὲ λευκόπυρσον ὡς πρὸς τοὺς πόδας
Δεικνύντα λευκὴν πανταχοῦ τὴν ἑσπέραν·
Φρουρεῖ δὲ πᾶσαν, ὡς ἐν εἱρκτῇ τὴν φύσιν.
Τηρεῖ δὲ τὰ στοιχεῖα φραγμώσας ὅλα.
Κόλπος δὲ παντὸς γίνεται κινουμένου.
Φθάνει καὶ πᾶν κίνημα, συγκινῶν ὅλα.
Στιγμὴν δὲ τὴν γῆν ὥσπερ ἐν μέσῳ φέρει.
Ἐπ' οὐδενὸς δὲ πήγματος πεπηγμένος.
Τὸ κοσμαγωγὸν ἀντερείδει κεντρίον·
Συνδεῖ δὲ τὴν ἄβυσσον ὡς ἐν σπαργάνῳ·
Κυκλοῖ δὲ τὴν σύμπασαν, ὡς ἐν δικτύῳ·
Σφίγγει δὲ πάντα σοὶ μόνῳ κρατούμενα.
Καὶ τὸν τοσοῦτον ὄγκον ἐγκλείσας ἔσω,
Ἔξωθεν αὐτὸς τῷ πλάτει συσφίγγεται.
Μετρουμένη γὰρ οὐρανῶν ἀμετρία,
Ὡς πρός σε στιγμὴ γίνεται σωζομένη.

Ὢ μηχανουργὲ τῆς πολυστρόφου στέγης,
Διαγράφεις γὰρ πᾶσαν ὡς θέλεις φύσιν
Τῇ σῇ διόπτρᾳ, καὶ στεγάζεις τοὺς κάτω,
Καὶ τοὺς παροίκους, εἰς ὑπαίθριον σκέπην.

Διαφλέγων μὲν καὶ πυρῶν τὸν αἰθέρα,
Πλὴν μὴ φλογίζων τῇ πυρώσει τὴν κτίσιν,
Ἀλλ' ὡς δοκεῖ σοι πᾶσαν ἁρμόζων φύσιν.

Ὢ τὰς ἀδήλους οὐσίας τῶν ἀγγέλων
Ἢ πνεῦμα δεικνὺς ἢ πυρίστομον φλόγα.
Τὸ θερμὸν αὐτῶν καὶ τομὸν διαγράφων·
Ἢ τετραμόρφῳ σχηματίζων εἰκόνι,
Τὸ στεῤῥὸν αὐτῶν ζωγραφῶν καὶ ποικίλον·
Ἢ πλῆθος αὐτῶν ἐξανοίγων ὀμμάτων,
Ὡς καὶ τὸ σὸν φῶς ἐμφανέστερον βλέπειν,
Καὶ μὴ λαθεῖν τι τῶν κάτω κινουμένων
Σοὶ γὰρ φέρουσιν ὕμνον, ὡς νικηφόρῳ,
Χερουβὶμ, ἀρχαὶ, καὶ θρόνων στρατεύματα,
Καὶ πᾶς Σεραφὶμ εἰς ἀκίνητον τάχος
Ἑστὼς πτεροῦται, καὶ πεπηγμένος τρέχει,
Καὶ ταῖς δυσὶ μὲν τοῦ προσώπου τὴν θέαν
Σκέπει πτέρυξι, ταῖς δυσὶ δὲ τοὺς πόδας,
Καὶ ταῖς δυσὶ πρὸς ὕψος ἵπταται μέγα·
Καὶ τὸ τριφεγγὲς τῆς ἁγιστείας σέλας
Εἰς ἓν συναρμόζουσι κύριον σέβας.
Δεικνύντες εὐσύνοπτα τῇ διαιρέσει,
Καὶ τῇ συνέξει τοῦ θεοῤῥύτου λόγου,
Διαιρετῶς μὲν τὰς ὑποστάσεις σέβειν,
Ἡνωμένως δὲ προσκυνεῖν τὴν οὐσίαν·
Ἐκφαντικῇ τρανοῦντες ὀρθοδοξίᾳ,
Τὴν υἱότητα τοῦ λόγου σαρκουμένην,
Εἰς ἀλλόφυλον μὴ ῥυῆναι τετράδα,
Ἀλλ' ἓν πρόσωπον καὶ θεαρχίαν μίαν,
Πρὸ σαρκὸς ὑμνεῖν καὶ μετὰ σαρκὸς λόγον,
Τὸν αὐτὸν ἄνθρωπόν τε καὶ Θεὸν φύσει,
Μὴ προσθέσει χυθέντα, μὴ διαιρέσει
Τομὴν παθόντα, μὴ τραπέντα συγχύσει.

Διπλοῦν τὸν ἁπλοῦν, μηδαμοῦ πεφυρμένον.
Ὢ πρὸς τὸ κάλλος τῶν ἐν ὕψει σωμάτων
Λειμῶνα πολλῶν ἐμφυτεύσας ἀστέρων,
Καὶ νύκτα κοσμῶν, καὶ στολίζων ἡμέραν·
Καὶ φῶς καθαίρων, καὶ μελαίνων ἑσπέραν.
Καὶ πῦρ γεωργῶν, καὶ κατασπείρων ὕδωρ,
Τὰ κοινὰ τοῖς χρήζουσι θησαυρίσματα.
Ὢ λεπτόσωμον ἐκχέων τὸν ἀέρα·
Πρὸς γὰρ τὸν αὐτὸν ἀντανέρχομαι πάλιν,
Καὶ μᾶλλον αὐτὸν νῦν λαλῶν ἀναπνέω.
Τὸν πανταχοῦ ῥέοντα, καὶ πεπηγμένον.
Τὸν εὐτάλαντον τῆς πνοῆς ζυγοστάτην.
Τὸν ἄφθονον ῥοῦν, τὴν ἀνάργυρον δόσιν.
Οὐ πλούσιος γάρ, οὐ δυνάστης ἁρπάσει
Πνοῆς περιττῆς ἐξ ἐκείνου συρμάδα,
Ἀλλ' εἰς ὅλους πρόεισι τὴν ἴσην χάριν,
Καὶ πᾶσιν ἁπλοῦς φαίνεται καὶ ποικίλος.
Τομαῖς ἀτμήτοις, εἰσροαῖς ἀσυγχύτοις.
Ἐν τῷ μερίζειν τὰς πνοὰς ἡνωμένος,
Ἐν τῷ προχεῖσθαι πανταχοῦ συνηγμένος.
Ὢ τὸν γίγαντα τοῦτον ἥλιον κτίσας·
Σφύζω γὰρ αὐτῷ προσλαλῆσαι καὶ πάλιν,
Βλέπων ἀπλήστως καὶ γράφων τὸν ἥλιον,
Τὸ κοινὸν ὄμμα, τὴν πανοπτρίαν κόρην·
Τὸ πάντροφον πῦρ, ὑπὸ γῆν μὲν ἑσπέρας
Ὑπὲρ δὲ τὴν γῆν ἐργάτην τῆς ἡμέρας·
Τὸ κοσμικὸν κάτοπτρον, ἢ τοὐναντίον
Τὸν ὀπτικὸν σπινθῆρα, τὴν τῶν ὀμμάτων
Ἔκλαμψιν ἢ πρόσλαμψιν, ἢ ξένην φύσιν
Ἐν εἰσαγωγαῖς ἐκδοχὰς ποιουμένην.
Οὐδὲν γὰρ αὐτοῦ τῆς φορᾶς ἀπεκρύβη,
Ἀρκεῖ δὲ πᾶσι τῇ ῥοπῇ τῆς ἀκτῖνος·
Φθάνει δὲ μέχρι τοῦ βάθους τῶν τερμάτων·
Φωτὸς δὲ πηγὰς κοσμοκινήτους ἔχει.
Ἔστι δὲ κοινὸς ἐργεπείκτης τῶν κάτω.
Τρέχει δὲ τῷ σύμπαντι τὴν ἐναντίαν·
Ὅπως ἀκλινὴς τῆς φορᾶς ἡ σφοδρότης,
Ἐξ ἀντιπλεύρων σφίγγεται καταδρομῶν·
Καὶ μὴ ῥαγῇ τὸ σφίγμα τῶν κυλισμάτων,
Ἐν τῇ κατ' εὐθὺ τῶν ἐλασμάτων τάσει
Ἀλλ' ὥσπερ εἰς σύνδεσμον ἀντεσφιγμένος.
Τοῖς ἀνθελιγμοῖς συγκρατεῖται τοῦ τάχους.
Βάσει τρεχούσῃ καὶ φορᾷ πεπηγμένῃ·
Εἰ μὴ γὰρ ἦν εὔτακτος, ἀλλ' ἐξετράπη,
Τὸν κόσμον εἶχεν ἐν ῥοπῇ καταφλέγειν.
Ὢ τὴν ἀμυδρὰν τῆς σελήνης λαμπάδα
Ἐκ τοῦ πυραυγοῦς ζωπυρώσας ἡλίου·
Κιχρᾷ γὰρ αὐτῇ γλαυκὸν ἐξ αὐτοῦ σέλας·
Οὐκ οἶδα πῶς λέγουσιν, ἀλλ' ὅμως τάχα.
Οὐχ ὡς δεηθεὶς φαύσεως ἀλλοτρίας.
(Τὸ φῶς γὰρ αὐτὸς καὶ πρὸ ἡλίου βρύεις)
Ἀλλ' ὥστε ῥυθμὸν ἐντεθῆναι τῇ κτίσει
Καλῆς ἀνάγκης καὶ σοφῆς ἐξουσίας,
Καὶ τὴν μὲν οὖσαν ἐνδεῆ τῆς λαμπάδος,
Τὰς ὑγροποιοὺς ἀντιλήψεις εἰσάγειν·
Δεῖται γὰρ ὑγρᾶς συμπλοκῆς ἡ θερμότης·
Τὸν δὲ ζέοντα, τῆς φλογὸς διεκχύσει
Τὰς ἐντεθείσας ἐκνοτίζειν ἰκμάδας·
Ὅπως γένηται μίξις ὥσπερ ἐν γάμῳ,
Καὶ συζυγέντων πρὸς τὸ τίκτειν τῶν δύο,
Εὔτεκνα δείξει τῶν σπαρέντων τὰ βρέφη,
Λαβοῦσα θερμὸν ἡ σελήνη νυμφίον.
Ὢ μηδὲν ἐχθρόν, μηδὲ πρὸς μάχην κτίσας,
Ἀλλ' ὡς ἀδελφὰς οἰκοδεσπότης πατήρ,



Εἰρηνοποιῶν τὰς ἐναντίας φύσεις,
Τάξιν τε δεικνὺς τῆς ἀτάκτου τετράδος.
Ὅπως ὁ κόσμος οὗτος, ὡς οἶκος μέγας,
Ἄρρηκτος ἔσται τεττάρων κρίκων δίκην,
Λαβὼν ὑποστήριξιν ἀντωθουμένην.
Οὕτως συνάπτεις τὰς ἀσυμβάτους φύσεις,
Πείθεις δὲ ταύτας ἐν συνοικίᾳ μένειν,
Εἰς ἓν θέλημα συμπνεούσης τῆς μάχης,
Ὡς λοιπὸν αὐταῖς κοινὸν εἶναι τὸν δρόμον·
Καὶ τὴν μὲν ἔργων ἀερόστημον πλέκειν,
Ὕφασμα λεπτὸν εἰς ἀναπνοὴν βίου.
Τὴν δ' αὖ πυρὸς νήθουσαν ἀρραγεῖς μίτους.
Χιτῶνα ποιεῖν εἰς τὸ θάλπειν τὴν φύσιν,
Τὴν δ' αὖ φέρειν ἔνομβρον ἐξ ἔθους ὕδωρ,
Μήπως τὸ θερμὸν φθαρτικῶς ὑποβράσῃ.
Τὴν γῆν δὲ ποιεῖν εὐπρεπῆ τὴν οἰκίαν,
Καὶ πάντας ἡμᾶς ἑστιᾶν καθ' ἡμέραν.
Οὕτως ὑπὲρ νοῦν εἰργάσω τὰς οὐσίας,
Ἐν τῇ δοκήσει τῆς μάχης, ἡνωμένας.
Καὶ τοῦ θέρους μὲν ἡ φλογώδης ἀκρότης.
Οὐκ εὐθὺς εἰς χειμῶνα τὴν θέρμην τρέπει,
(Αἱ γὰρ μεταρσεις βλαπτικαὶ τῶν σωμάτων)
Ἀλλ' εἰς τὸ μετόπωρον καὶ κρᾶσιν μέσην,
Τῷ μαλθακῷ τὴν ψύξιν ἠρέμα τρέφει.
Κἀντεῦθεν εὐθὺς οὐ πρὸς ἄκρατον ζέσιν,
Ἀλλ' εἰς ἔαρ μέτεισι, καὶ λεληθότως
Τὸν κρυμὸν ὠθεῖ, καὶ τὸ καῦμα συλλέγει.
Καὶ ταῦτα δρῶσιν ἐξ ἀμοιβαίου δρόμου,
Κόραις ὁμοίως συγχορευούσαις ἅμα,
Καὶ συμβαλούσαις τοὺς ἑαυτῶν δακτύλους,
Ὅπως χορὸν πλέξωσιν εὐρύθμου βίου.
Ὡς ἐμεγαλύνθη τῶν σοφῶν σου κτισμάτων
Ἡ παντοποιὸς ἐμφανῶς ἐξουσία.
Χειμῶνος ὥρα, καὶ τὰ δένδρα συντόμως
Ἐκ τῆς πυράγρας τοῦ κρύους μαραίνεται,
Φθίνει τὸ κάλλος, ἀσθενοῦσιν οἱ κλάδοι,
Ἐκρεῖ τὸ φύλλον ὥσπερ ἐκ νεκροῦ τρίχες.
Καὶ μικρὸν οὔπω τὴν φθορὰν ἀποξέει,
Καὶ κάλλος αὖθις καὶ νέας τρίχας φέρει;
Βλαστοῦ τὸ κάλλος, καὶ τὰ φύλλα τὰς τρί-
Καὶ τῶν ἀδήλων ἐξεγείρεται τάφων, (χας,
Πρὸς τὴν συνήθη τοῦ γόνου ἀνάστασιν.
Θέρους ὁ καιρός, οὐκ ἔχω λέγειν ὅπως
Ἐκεῖνος οὗτος ὁ φλογώδης ἥλιος,
Ἐν ταυτότητι τοῦ χρόνου καὶ τοῦ τρόπου,
Πῇ μὲν μελαίνει τὰς χρόας ὑποφλέγων,
Πῇ δ' αὖ γε λευκὰ δεικνύει τὰ σώματα.
Καὶ ξηρὰ μὲν δρᾷ τῶν σπαρέντων τὰ βρέφη
Ὑγρὰς δὲ ποιεῖ τῶν ὀπῶν τὰς ἰκμάδας·
Κιρνᾷ γὰρ αὐτὰς τῷ πρὸς ἀέρα δρόμῳ.
Καὶ θερμὸν ὑγρῷ συμπλέκει ὁδοιπόρῳ,
Ὅπως κερασθῇ τῇ μεσαζούσῃ σχέσει
Ἡ τῶν ἐν αὐτοῖς ποιοτήτων ἀκρότης·
Καὶ μήτε φλέξει δραστικῶς ἡ θερμότης,
Ὑγρᾶς ἐν αὐτῇ μὴ παρούσης ἰκμάδος·
Μήτε πρὸς ἄκραν ἐξολισθήσῃ χύσιν,
Τῆς ὑγρότητος ἡ φορὰ μονουμένη·
Ἀλλ' ὥσπερ εἰς ἓν ἔργον ἐργάται δύο,
Τέγγει μὲν ἰκμάς, καὶ προβάλλει τὴν πόαν,
Καὶ τῆς ὀπώρας ὠμὰ τίκτει τὰ βρέφη,
Ἐν οἷς τὰ πολλὰ λεπτὰ τείνει σπαρτία,
Μήπως βαρυνθῇ τῶν ὀπῶν ἡ χαυνότης.
Καὶ θλίψιν ἕξει τῇ δέσει τοῦ σφίγματος,
Κἀντεῦθεν ἰκμὰς τῆς ὀπώρας ἐκπέσῃ.

Ἐπεὶ δὲ δεῖται πήξεως μὲν ἡ χλόη,
Χαυνώσεως δὲ τῶν ὀπῶν ἡ στερρότης·
Θέρμη συναντήσασα ταῖς δυσὶ μία,
Χαυνοῦσα ϗ σφίγγουσα τῷ ξένῳ λόγῳ,
Πληροῖ τὸ λεῖπον δωρεαῖς ἐναντίαις·
Καὶ τῇ χλόῃ μὲν ῥίζαν ἑδραίαν φύει·
Λεπτῇ δὲ χυλώσασα τοὺς ὀποὺς ζέσει,
Τὴν βρῶσιν ὡς ἔνσαρκον ἀρτύει δρόσῳ.
Ὡς ϗ παρ᾽ ἡμῖν ὠμότητα καρδίας,
Σπινθὴρ νοητοῦ προσβαλόντος ἡλίου,
Θάλπει, μαλάττει, ϗ πεπαίνει ϗ τρέφει,
Καὶ καρπὸν ἐντίθησιν ἐξ ἀκαρπίας.
Ὢ τετράπωλον ὥσπερ ἅρματος θέσιν,
Στοιχεῖα τάττων, ἡνιοχῶν τοὺς χρόνους.
Ἐν ἑπτακύκλοις ἡμερῶν περιδρόμοις·
Διεξάγων δὲ τοῦ βίου τὸν ἄξονα,
Ῥυθμῷ συνήθει, ϗ τροχῷ βεβηκότι.
Καὶ συμφυλάττων τὰς συνεκτικὰς θύρας,
Μήπως ὄχημα τοῦ συνήθους ἐκδράμῃ,
Καὶ σκύλμα πέμψῃ, ϗ ταράξῃ τὴν θέαν,
Δημοφθόρου τε λύσιν ἐμβάλῃ μάχης·
Ἀλλ᾽ ὥστε πάντων τακτὸν εἶναι τὸν δρόμον.
Καὶ μηδὲν ἡμᾶς αὐτοδέσποτον βλέπειν·
Κοινὴν δὲ δούλην πᾶσαν εἶναί σου κτίσιν·
Καὶ μήτε συνδεθεῖσαν εἰς λύσιν τρέχειν,
Μηδ᾽ αὖ παρελθεῖν τοὺς πεπηγμένους ὅρους,
( Εἰ μὴ μόνος σὺ τὴν τροπὴν ἀπεργάσῃ·
Καὶ γὰρ συνεῖδες προσκοπῶν τὸ συμφέρον)
Τῶν σῶν μεγίστων ἐργοχείρων τὴν κτίσιν·
Μήτε τρέπεσθαι πᾶν γένος, ϗ συγχύσεις
Ταῖς κοσμολέθροις ἐκτροπαῖς παρεισάγειν,
Μηδ᾽ αὖ μένειν ἄτρεπτον, ἀλλ᾽ ἔχειν ὅρους
Τρεπτῆς ἀνάγκης, μὴ λαθοῦσα τῷ χρόνῳ
Θεὸς νομισθῇ τοῖς ὁρῶσιν ἡ κτίσις.

Τίς γὰρ σελήνην ἢ τὸν ἥλιον βλέπων,
Ὀφθαλμιῶντας τῇ πρὸς ἔκλειψιν νόσῳ
Οὐκ εὐθὺς ἔγνω τῇ διδασκάλῳ φύσει,
Ὡς οὐκ ἂν ἠλλάξαντο φωστῆρες γνόφον,
Εἰ μὴ παθηταῖς ἐζοφοῦντο λαμπάσι;
Ἢ τίς τὸν αὐτὸν εὐσυνόπτως ἀστέρα,
Καὶ φωσφόρον γνοὺς, ϗ σκοπήσας ἕσπερον,
Οὐκ οἶδεν αὐτὸν ἐργάτην διπλοδρόμων,
Κήρυκα νυκτὸς, ϗ προφήτην ἡμέρας;

Τίς τὸν μέγιστον οὐρανὸν τοῦτον βλέπων
Καὶ τὴν ἀεικίνητον ἣν ἔχει βίαν,
Τῶν ἀστέρων τε τοὺς συνεκτικωτάτους,
Νῦν μὲν βορείας, νῦν δὲ κινήσεις νότου,
Ἐν ἐκδρομῇ ποιοῦντας, ἢ μεταστάσει·
Ἢ τὴν ἄβυσσον τοῦ χυθέντος ἀέρος,
Ψυχουμένην νῦν, ϗ πάλιν πυρουμένην
Καὶ προσβολὰς πάσχουσαν ἠναγκασμένας,
Οὐ τὴν ἄτρεπτον ἐννοήσας οὐσίαν,
Δούλην νομίζει τὴν ἀείτρεπτον κτίσιν;
Τίς βρασμὸν ἢ χάλαζαν, ἢ χύσιν ζόφου
Ἢ πῦρ καταχθὲν, ἢ βραχεῖσαν αἰθάλην,
Ἢ γῆν τρέμουσαν ϗ παρειμένην βλέπων,
Οὐκ οἶδε δούλην τὴν κλονουμένην κτίσιν;

Τίς τὴν θάλασσαν ἀστατοῦσαν προσβλέπων,
Οὐκ οἶδεν αὐτὴν δραπέτου τινὸς δίκην,
Φεύγουσαν ἔξω, ϗ κρατουμένην ἔσω;
Ἣ πολλάκις ζέσασα τῇ ψυχρᾷ ζέσει.
Καὶ ταῖς ἀτάκτοις προσβολαῖς τῶν ῥευμάτων,
Ὅλην ἑαυτὴν οἷα μαινὰς ἀγρία,
Τῇ γῇ περικρούσασα, ϗ θυμουμένη,
Θρασύνεται μὲν, ϗ πλατύνει τὸ στόμα,
Καὶ πολλὰ κράζει, ϗ τὸν ἀφρὸν ἐκπτύει,
Καὶ συμπέφυρται πρὸς τὰ χείλη τῷ σάλῳ·
Κρουνοὺς δὲ πολλῶν ἐκπιοῦσα ῥευμάτων,
Ἄπεπτον ἅλμην ἐκ βάθους ἐρεύγεται.
Τῇ πλησμονῇ δὲ τῆς μέθης ταράττεται,
Ῥῆξαί τε τὰς κλεῖς, ϗ διαδρᾶσαι θέλει·
Ἀνθέλκεται δὲ, ϗ φοβεῖται, ϗ μένει,
Καὶ τὰς ἐνύδρους οὐ παρέρχεται θύρας,
Ἀλλ᾽ εἰς ἑαυτὴν ὑπτίως ἀνατρέχει,
Ὡς οἷα δούλη τῶν τριχῶν κρατουμένη.
Μαστίζεται γὰρ συμφερόντως ἡ κτίσις,
Ὅπως ἀπληγῷ σωφρονισθῶμεν φόβῳ.
Φειδοῖ προνοίας τοῦ τεχνίτου τῶν ὅλων·
Καὶ συσταλῶμεν, ὡς φοβήτρῳ παιδία,
Ἢ ϗ τὰ μικρὰ τῶν κυνῶν τετυμμένα,
Τὸ τῶν λεόντων σωφρονίζουσι θράσος.
Ὢ μέχρι παντὸς ἐνδιδοὺς ὑπερθέσεις
Ταῖς ἐκπροθέσμοις τῶν χρεῶν προθεσμίαις·
Ὁ δεσπότων δὲ τὴν ἁμαρτίαν φόβῳ,
Βίας τε ποιῶν εἰς τὸ σῶσαι τὸν βίον,
Καὶ μὴ δικάζων συντόμως, ὁπηνίκα
Σφαλῶμεν ἡμεῖς, ἡ κτίσις δὲ τύπτεται,
Ποινάς τε πάσχει τῶν ἐμῶν ἐγκλημάτων,
Ἀλλοτρίῳ μώλωπι τραυματουμένη·
Ὢν ἐν μετάρσει λοιμικῆς ἀῤῥωστίας,
Ἄλλων ἐχόντων τὴν τομὴν τῶν τραυμάτων,
Ὁ τοῦ πάθους κίνδυνος εἰς ἄλλους τρέχει.
Καὶ γίνομαι νῦν τῶν φρενῶν ἐν ἐκστάσει,
Πῶς ὁ κριτὴς δίκαια θεσπίζων ὅλοις,
Προσωποληπτεῖ, ϗ φιλανθρώπῳ σχέσει,
Ἄλλου σφαλέντος, ἄλλον ἕλκει πρὸς δίκην·
Καὶ πῶς ὁ κρίνων τοῖς δικασταῖς κρίσιν,
Ἢ δῶρα λαμβάνουσιν ἐγκαλῶν μέγα,
Αὐτὸς δὲ δῶρα λαμβάνειν ἐπείγεται,
Πτωχοὺς ὑπουργοὺς ἀξιοχρέους ἔχων·
( Ὡς ἔτις εἴποι πιστικοὺς δομεστίκους )
Ἐξ ὧν ἀπαιτεῖ ϗ προδοῦναι τὴν δίκην·
Σφύζει δι᾽ αὐτοὺς, μὴ φοβούμενος ψόγον·
Καὶ λαμβάνει θέλημα χρυσίου πλέον·
Ἄρτῳ δὲ μικρῷ τοὺς νόμους βιάζεται.
Ὑφέλκεται δὲ ϗ στεναγμοῖς, εἰ λάβοι·
Ψυχρῷ δὲ πεισθεὶς θέλγεται ποτηρίῳ·
Καὶ λῆμμα θερμοῦ δακρύου πορίζεται·
Καὶ μέχρι λεπτοῦ πολλάκις κατέρχεται.
Ζητῶν ἀφορμὴν εἰς τὸ κλέψαι τὴν δίκην.
Σχίζει δὲ πολλὰς συγγραφὰς ὑπαιτίους,
Τόμους δὲ σαθροῖ μυρίων χειρογράφων,
Τοῖς ἀφεσίμοις δαψιλῶς ὑπογράφει,
Τὰς ὑποθήκας, καίπερ οὔσας ἐνδίκους,
Γοργῶς ἀκυροῖ, ϗ χαράττει συντόμως,
Αὐτὸς καθ᾽ αὑτὸν ὡς θέλει ψηφίζεται·
Νόμους σαλεύει, μὴ φοβούμενος νόμους·
Λύει τὰ δεσμὰ τῶν ὑπευθύνων ὅλων·
Λῃστὰς δικαιοῖ, σπένδεται κατακρίτοις·
Πόρναις ὁμιλεῖ, τοῖς τελώναις συμμένει.
Εἰ δὲ προκεῖσθαι ψαλμὸν ἐκ Δαβὶδ μάθοι,
Εἴωθε ποιεῖν ϗ φονεῖς ἀναιτίους.
Καὶ διαλύσεις τῶν κακῶν ἐγκλημάτων,
Εἰ ϗ παρανόμους, ἐννόμους ὁρίζεται.
Οὐκ ἐκ βαφῆς γὰρ ὁ κριτὴς μελανδόχου,
Ἀλλ᾽ αἱμιτώσας τοὺς ἑαυτοῦ δακτύλους,
Βαφαῖς ἐρυθραῖς βασιλικῶς ὑπογράφει.



SISMANOGLIO MEGANOGLIO

Ὡς τόξα τείνων εἰς τὸ πλῆξαι πολλάκις,
Παρακρατῶν δὲ τὴν βολὴν ὑπηγμένην·
Τοῦ γὰρ βέλους μὲν εὐτρεπίζεις τὴν τάσιν,
Ἀργὸς δὲ γίνῃ πρὸς τὸ βάλλειν τοξότης·
Καὶ πολλάκις τὸ τόξον ἐντείνας, πάλιν
Χαλᾷς τὸ νεῦρον, καὶ μεθέλκεις τὸν τόνον·
Καὶ τῇ δοκήσει σχηματίζεις τὸν φόβον,
Καὶ τῆς ἀπειλῆς ζωγραφεῖς τὴν εἰκόνα·
Ἕως φοβηθεὶς πρὸς τὸ πλῆκτρον ὁ βλέπων
Κλίνῃ τὰ νῶτα, καὶ προκύψας εἰς γόνυ,
Καὶ τῷ φόβῳ τὸ σῶμα συστείλας ὅλον,
Φύγῃ τὸ τραῦμα τῆς βολῆς κινουμένης.
Εἰ μὲν δοκεῖ γὰρ ταῖς βολαῖς ἀντιβλέπειν,
Ἑτοιμότρωτον γίνεται τῷ τοξότῃ.
Εἰ δ' αὖ μεταστῇ τοῦ κακοῦ μεταιχμίου,
(Μεταίχμιον δὲ τῆς μάχης ἁμαρτία)
Παρατρέπει τὸ πλῆκτρον εἰς τοὐναντίον.
Θέλει γὰρ οὗτος ἀστοχεῖν ὁ τοξότης·
Καὶ πλάττεται μὲν τῷ δοκεῖν τὸν ὀργίλον,
Ἅπαξ δὲ πλήττει, καὶ παραινεῖ πολλάκις,
Φόβοις, ἀπειλαῖς, ἐντροπαῖς, ἐνυπνίοις.
Στοργῇ κολάζων· δεῖ γὰρ εἶναι τῇ φύσει
Καὶ τὴν ἀπειλὴν τοῦ Θεοῦ σωτηρίαν,
Ὃς πρὸς τὸ σώζειν μηχανᾶται ποικίλα,
Καὶ ψυχοκερδὴς γίνεται πλουτοπράτης,
Καὶ τοῖς λαβεῖν θέλουσιν, οὐρανοπράτης.
Καὶ μαργαρίτας εὐδοκεῖ προτιθέναι,
Οὓς οὐκ ἀπωστράκωσαν Ἰνδικοὶ σάλοι,
Ἀλλ' αἱ πενιχραὶ τοῦ βίου περιστάσεις.
Φρυκτοὺς δέ σοι δεικνῦσιν ἄνθρακας λάλους·
Εἴπερ λαλοῦσιν ὄντες ἠνθρακωμένοι·
Στικτοὺς, ἐρυθροὺς, ὡς τὸ πῦρ ἐξημμένους,
Τὸ φῶς ὑπαυγάζοντας ἐκ τῶν τραυμάτων·
Τιμῆς βραχείας, τοὺς ὑπερτίμους λίθους
Ὅλους ἑτοίμους εἰς προθήκην στεμμάτων.
Ὧν αἱ τακεῖσαι τῶν μελῶν ἀναβράσεις,
Στίλβουσι μᾶλλον ἢ τὸ πῦρ ἐξ ἀνθράκων,
Εἰς βασιλείαν τῶν ἀειζώων θρόνων.
Τῶν μήτε θνητῶν ἐκκοπὴν δεδοικότων,
Μήτε θρασὺν τύραννον ἐπτοημένων.
Ὢ τῆς σοφῆς μάστιγος, ὢ πλούτου βάθος·
Ὢ χρηστότης ἄπληστος· ἐξ ἑνὸς φόβου,
Τοὺς μὲν καθαίρει, καὶ πρὸ καιροῦ τῆς δίκης
Καθαρτικὸν πῦρ ἐμβαλοῦσα, τὴν νόσον·
Ἡμᾶς δὲ νύττει συμφορᾷ διδασκάλῳ,
Καὶ μισθὸν ἡμῖν ἐκ νόσου τεχνάζεται.
Καὶ τὴν δοκοῦσαν τοῦ βίου τιμωρίαν.
Κοινὴν ἀφορμὴν ἐκτελεῖ σωτηρίας.
Ὢ γῆς ὑποστήριγμα τορνεύων ὕδωρ,
Ἴσων δὴ τὴν βρίθουσαν ἀστάτῳ βάσει·
Ἢ βάθρον αὐτῇ προσχέων τὸν ἀέρα.
Οὐκ οἶδα ποίαν ἑδράζων ἄλλην βάσιν,
Ποῖον δὲ ταύτῃ δημιουργῶν πυθμένα,
Ὡς μὴ δεηθῇ τοῦ μετ' αὐτὸν πυθμένος.
Σειραῖς δὲ μᾶλλον ἠγνοημέναις ὅλοις.
Ποιῶν κρεμαστὴν τὴν πάνορμον ὁλκάδα·
Ἡ γῆ γὰρ ὁλκάς ἐστιν εἰς ὕδωρ τάχα,
Ἑστῶσα, καὶ φέρουσα τὴν οἰκουμένην.
Ψάμμον δὲ τεῖχος τῇ θαλάσσῃ συλλέγων,
Καὶ λεπτὸν ἀντίφραγμα τῇ ζάλῃ πλέκων·
Κτίζων δὲ βροντὴν, ἀστραπὴν δὲ θεσπίσας,
Ἐκ τῶν ἐνύγρων ἐκτρέχειν πυρεκβόλων·
Ὢ τὰς ἀνεμώδεις οὐσίας θησαυρίσας,
Ἐκ τῶν ἀδήλων ὡς ἐπίστασαι πόρων·



Αὖθις δὲ ταύτας ἐκχέων ἐν Ἐξόδῳ,
Ὅταν χαρίζῃ τὰς πνοὰς τοῖς οἰκέταις.
Ὢ τοῦ κεραυνοῦ τὴν ὁδὸν περιτρέπων,
Ἀναστρέφων δὲ τὴν ἄνω φορὰν κάτω,
Χέων δὲ τὴν ἄβυσσον ἐκ βάθους ἄνω,
Ὅταν προβάλλῃ τοὺς ἀναγκαίους φόβους,
Καὶ τῷ φόβῳ δρᾷς ἐκκοπὴν ἁμαρτίας.
Ὢ πῦρ φλογίζον τῇ χαλάζῃ συμπλέκων,
Ὅταν ξεναργεῖς συμφορὰς Αἰγυπτίοις·
Καὶ μήτε πυρσοῖς ἐξατμίζων τὴν δρόσον,
Μηδ' αὖ στεγνῶν τῇ χαλάζῃ τὴν φλόγα.
Ἀλλ' ὡς βραβεύτης, καὶ συνάπτων τὴν πάλην
Καὶ πνεῦμα πέμπων, καὶ μεσάζων τὴν
μάχην.
Ὢ τὰς ἐπάλξεις τῶν νεφῶν, καὶ τοὺς λό-
Κρεμῶν ἐν ὕψει, καὶ μεθέλκων ἐν βάθει, (φους
Καὶ πῇ μὲν ἐκ γῆς, εἰ θέλεις, μετάρσιον
Ὕδωρ ἀνέλκων, πῇ δὲ διψῶσαν πάλιν
Τὴν γῆν ποτίζων, καὶ δροσίζων εὐθέτως
Τὴν ξηρότητα ταῖς ἐνύγροις ἰκμάσι,
Μήπως ὑποκλάσασα τῇ ξηρᾷ ζέσει,
Στεῖρα προέλθῃ πρὸς γονὴν τῶν σπερμάτων.
Ὢ τὰς ῥεούσας ὡς κελεύεις ἐκχύσεις,
Ποιῶν ὁμοίας τοῖς ἀποσκλήροις λίθοις,
Ἃς οὔτε χειμὼν, οὔτε καύματος ζέσις,
Εἴργει τυποῦσθαι πρὸς τὸ σοὶ δεδογμένον,
Πῇ μὲν γὰρ αὐτὰς, οἷα πετραίους πάγους,
Χειμὼν ἀπεσκλήρυνε, πῇ δὲ καὶ θέρος
Στερροὺς ἀφῆκε τῆς χαλάζης τοὺς λίθους.
Τίς τὰς ἀφορμὰς τῶν ἀπορρήτων λόγων,
Ταύτης ἀπηκρίβωσε τῆς λιθουργίας;
Ποῖον θρασυνθὲν τοῦ Σταγειρίτου στόμα
Τοὺς τῆς χαλάζης ἐξερεύγεται λόγους·
Ὡς ἥλιος μὲν ὑγρὸν ἁρπάσας πάχος,
Καὶ πρὸς τὰ κοῖλα τῶν νεφῶν ὀρύγματα,
Τὴν ψύξιν ἐνθεὶς, καὶ περιστείλας ὅλην
Τῆς ψυχρότητος ἐν βάθει τὴν ἰκμάδα
Λιθοῖ τὸ χαῦνον, καὶ παχύνει τὴν φύσιν,
Κἀντεῦθεν ἡ χάλαζα μαρμαρουμένη,
Λύσις κυλίνδρων γίνεται λιθοδρόμων.
Ὁ δ' αὖ γε χειμὼν ψυχρότητος ἐκτάσει,
Νάρκωσιν ἐνθεὶς τῆς ῥοῆς τῇ συστάσει,
Χεῖσθαι μὲν αὐτὴν οὐκ ἐᾷ χαυνουμένην,
Σφίγγων δὲ καὶ σπῶν δεικνύει πεπηγμένην.
Ὢ συλλογισμῶν εὐόλισθα κύματα,
Καὶ κτίσμα χαῦνον παιδικῶν ἀθυρμάτων.
Τὰ λεπτὰ κάρφη συλλεγόντων εἰς στέγην.
Ὢ πομφόλυξ σφύζουσα καὶ φυσωμένη,
Καὶ πνευματοῦσα τοὺς ἐν ὀγκώσει λόγους.
Ἣν ὡς ἄβαθρον καὶ διάρρυτον κτίσιν,
Ψεκὰς συνιστᾷ, καὶ σταγὼν ἀνατρέπει.
Εἰ συστρέφει γὰρ τοὺς πάγους ἡ ψυχρότης,
Καὶ ταῦτα ποιεῖ τοῦ θέρους ἡ θερμότης,
Πόθεν συνῆλθον εἰς ἐνέργειαν μίαν,
Ἐναντίως ἔχοντες ἐργάται δύο;
Ποῖαι δὲ χῶναι, καὶ κυλίστραι καὶ στρόφοι,
Τὴν ψύξιν ἐσφαίρωσαν εἰς ῥυτὴν λίθον;
Πόθεν δὲ καὶ φλὸξ τῇ βροχῇ μεμιγμένη;
Καὶ ταῖς φιλέχθροις συστροφαῖς εἰλουμένη,
Ἅλωσιν οὐ πέπονθεν ἀλληλοφθόρον;
Εἰ δ' αὖθις ἢ νοῦν ὀξυκίνητον στρέφων;
Ἢ πνεῦμα λεπτὸν εἰς ἀνάπτυξιν λόγου,
Εἰπεῖν τι πιστὸν τῶν ἀποκρύφων μάθοι,
Καὶ τοῦτο τῆς σῆς δέσποτα προμηθείας·

Ὡς μὴ τὸ μῆκος ἢ τὸ κάλλος τοῦ πλάτους,
Μόνον σκοπήσας ἐκπλαγῇ, τῶν κτισμά-
Ἀλλ' ὥστε μᾶλλον τῇ νοήσει τοῦ βάθους (των,
Πρὸς ὕψος ἀρθεὶς, γνωστικῶς σε θαυμάσῃ.
Ἀλλ' εἰπὲ λοιπὸν τῷ Σταγειρίτῃ Πλάτων
Καὶ τὸν μαθητὴν πεῖσον, εἰ πείσεις λέγων,
Ἐκ τῶν ἄνω κάτελθε, καὶ λάλει κάτω,
Μήπως ἐπαρθεὶς τῷ μεταρσίῳ θράσει,
Ὥσπερ νεοττὸς αἰετοῦ, καὶ μὴ θέλων,
Αὖθις κατέλθῃς, μὴ φέρων τὸν ἥλιον.
Ἀλλ' ὦ παρ' ἡμῖν ἐμφανῶς κεκρυμμένε,
Καὶ φῶς μὲν οἰκῶν, τοῖς δὲ τὴν σὴν οὐσίαν
Ζητοῦσι, πολλὴν ἀντιπέμπων ἑσπέραν,
Ὡς συγκαλύπτων οὐ μόνον τὴν σὴν φύσιν,
Ἐν συστολῇ δὲ δεικνύων καὶ τὴν κτίσιν·
Ὅπως ἐάν τις ἐξερευνῆσαι λόγῳ
Τὴν σὴν ἀνεξεύρητον οὐσίαν θέλῃ,
Πρῶτον λάβοι κάλυμμα τὴν στυγνὴν κλίσιν,
Καὶ τὴν ὁμίχλην ἐκπλαγεὶς ὑποστρέφοι.
Ὦ τὴν ἀνερμήνευτον ἐξοχὴν ἔχων,
Δεικνὺς δὲ σαυτὸν ἐν κατόπτρῳ τῇ κτίσει,
Ὅπως ἕκαστος ἐκμαθεῖν ἠπειγμένος,
Τὰς σὰς δι' αὐτῆς, ὡς ἐφικτὸν, ἐμφάσεις,
Μὴ τοὺς ὑπὲρ νοῦν εὐθέως ζητεῖ λόγους·
Ἀλλ' ὡς νέος τις ἐκδοθεὶς διδασκάλῳ,
Καὶ πρὸς τὰ πεζὰ ταῦτα γράμματα τρέ-
Τέως τυπωθῇ τοῖς κάτω μαθήμασι, (χων,
Προσκαρτερήσας τῇ σχολῇ τῶν κτισμάτων
Καὶ συλλαβὰς μὲν ἐμφρόνως τὰς οὐσίας,
Τὰς εἰς ἑαυτὰς συντεθείσας ἐκμάθῃ·
Τὰς ἡλίου δὲ καὶ σελήνης ἐκθέσεις,
Ὡς τῶν χρόνων εὔστικτα σημεῖα, ξέσῃ
Ὅταν δὲ πᾶσαν τὴν προπαίδειαν μάθῃ,
Ταῖς καθολικαῖς ἐκτριβῇ προσῳδίαις,
Πήξῃ τε τὸν νοῦν εἰς τὰ τοῦ λόγου μέρη,
Καὶ ῥητορεύων ἐκφράσῃ τὰ κτίσματα,
Τοῖς κοσμικοῖς δὲ πᾶσιν ἐντύχῃ νόμοις,
Καὶ τοὺς παλαιοὺς μὴ παρατρέχων ὅρους,
Εἰς διατάξεις ἀσχοληθῇ τὰς νέας·
Καὶ πολλὰ πράξας, καὶ προκόψας εἰσβάλοι,
Ταῖς εἰσαγωγαῖς τῆς ἄνω θεωρίας,
Καὶ τὴν ἐκεῖ σύνταξιν εἰς φρένας λάβοι,
Τὴν τῶν μεγίστων πραγμάτων παιδεύτριαν·
Τότε προβαίνων ἐντελέστερον μάθοι,
Ὡς οὐδὲν ἔγνω πλὴν σκιᾶς κεκρυμμένης
Οὕτω τε λοιπὸν ὥσπερ ἐξ ἀγνωσίας,
Τὸ, Γνῶθι σαυτὸν, εἰς διάσκεψιν λάβοι.
Καὶ τῇ καθ' ἡμᾶς ἐνδιατρίβων φύσει,
Τέως ἑαυτῷ συλλαλήσοι, καὶ μάθοι.

Πόθεν παρήχθη, μηδὲν ὢν πρὸ τοῦ βίου;
Καὶ πῶς τὰ μικρὰ τοῦ σπόρου προβλήματα
Ἐν τοῖς μερισμοῖς τῶν τοσούτων ὀργάνων (τα
Παρεντεθέντα, πῇ μὲν ὀμμάτων θέσεις,
Πῇ δὲ φλέβας τίκτουσι, πῇ δὲ συνδέσεις
Τῶν ἐντέρων πλέκουσι, καὶ χεῖρας πάλιν
Φύουσι, καὶ στερροῦσι τοῖς ποσὶ βάσιν;
Καὶ πῶς μερισθὲν εἰς νομὰς πολυτρόπους,
Τὸ τοῦ σπόρου σύστημα ποικίλῳ τρόπῳ
Μίαν καθιστᾷ τῶν μελῶν τὴν οὐσίαν;
Πόθεν δὲ πηγὰς αἱμάτων ἐπεισάγει,
Τάσιν δὲ νεύρων ἐμφύει τῷ σώματι,
Κτίζει δὲ πλευρὰς, ὡραΐζει δὲ τρίχας,
Σφίγγει δὲ ταρσοὺς, καὶ μερίζει δακτύλους·
Χαυνοῖ δὲ γλῶτταν εἰς τὸ συστρέφειν λόγους,



Καὶ πλῆκτρον εἶναι τοῦ λαλοῦντος ὀργάνου·
Παρακρατεῖ δὲ σφονδύλοις τὸν αὐχένα
Μήπως ὄλισθον τῇ περιστροφῇ πάθοι·
Ῥιζοῖ δὲ πυκνοὺς τῶν ὀδόντων τὰς μύλας
Ὅπως ἀλεσθῇ πρὸς τροφὴν τὰ σιτία;
Καὶ πῶς φυτουργεῖ τὴν πυρώδη καρδίαν,
Σπινθῆρος ἔνδον μηδαμῶς πεφυκότος,
Ἣν ἐν μέσῳ τέθεικεν ὥσπερ οἱ τρόπιν
Πηγνύντες, ἀντίπλευρα βάλλουσι ξύλα,
Ἐκεῖθεν ἔνθεν, εἰς τὸ σῶσαι τὸ σκάφος.
Πόθεν δὲ μορφοῖ καὶ τυποῖ τὴν εἰκόνα,
Καὶ κάλλος ἐντίθησιν ἐξ ἀμορφίας;
Ποίους δὲ κόλπους μητρικοὺς ὑποτρέχων,
Πῇ μὲν τὸ θῆλυ σχηματίζει τῇ πλάσει,
Πῇ δὲ προβάλλει σωματώσεις ἀρρένων;
Πόθεν δὲ πηγὰς τοῖς κυήμασι βρύει,
Καὶ τοῦ γάλακτος τοὺς ἀγωγοὺς εἰσάγει;
Καὶ πῶς ὁμοίως τοῖς φυτοῖς ἡ θερμότης
Αὔξει τὸ σῶμα τῶν ἀνήβων ὀργάνων,
Τὰς τ' ἐπιδόσεις τῶν μελῶν ἐργάζεται·
Ἄνθη δὲ βάλλει τοῖς ἐνήβοις τὰς τρίχας,
Καὶ τὴν πρόσοψιν ὡραΐζει τῇ χλόῃ,
Ὀργᾷ δὲ καρποὺς ἐξενεγκεῖν ἡ ζέσις·
Ἕως ἂν ἔλθῃ τῆς παρακμῆς ὁ χρόνος,
Ὁ τὴν ὀπώραν ἐκπιέζων τῶν νέων·
Μαραίνεται γὰρ εὐθέως ἡ θερμότης·
Λευκαίνεται δὲ τῶν γερόντων ὁ στάχυς·
Καρηβαρεῖ δὲ, καὶ δοκεῖ κεκυφέναι.
Τῇ γῇ δὲ προσνένευκε, καὶ βρίθει κάτω.
Τὸν γὰρ θερισμὸν γειτνιῶντα προσβλέπει·
Εἰ τὴν καθ' ἡμᾶς σαρκικὴν λάβοι λύραν,
Καὶ γνῷ τὸν εἱρμὸν τῶν μελῶν καὶ τοὺς τόνους
Καὶ τὴν ἄηχον ἐκφυγὼν ἀφωνίαν,
Εἰπεῖν δυνηθῇ τὴν κάτω μελῳδίαν·
Καὶ πῶς τὸ ῥευστὸν τοῦ σπόρου παχύνεται,
Καὶ σάρκα ποιεῖ, καὶ πάλιν σκληρύνεται,
Καὶ νεῦρα καὶ σύμπηξιν ὀστώδη πλέκει.
Ἢ πηλίκον δοχεῖον ἡ μνήμη φέρει,
Ἐν ᾧ φυλάττει τὰς δοχὰς τῶν πραγμάτων.
Εἴποι δὲ πῶς ἔμπρακτος ἡ φύσις τρέχει
Πρὸς τὰς ἐν ἡμῖν θρεπτικὰς λειτουργίας.
Ὡς ἂν δέ τις δέσποινα τῆς οἰκουργίας,
Κινεῖ πρὸς ἔργα τοὺς ἑαυτῆς ἐργάτας,
Καὶ τοὺς ὀρεκτικοὺς μὲν ὀξύνει πόρους,
Τοὺς ἑλκτικοὺς δὲ πάντας ἰθύνει τόνους·
Βάλλει δὲ κλεῖθρα ταῖς καθελκτικαῖς πύ-
Ἕως λαβοῦσα καιρὸν ἀλλοιώσεως, (λαις,
Ἐξαιματώσει τὰς τροφὰς ἡ θερμότης,
Καὶ τὴν ἀποκρίνουσαν ὠθήσει θύραν,
Καὶ πᾶν περιττὸν ἐκφορήσει φορτίον.
Ἢ πῶς ἐνεργεῖς ἀντιλήψεις εἰσάγει,
Πρὸς τὰς ἐν ἡμῖν ποικίλας διακρίσεις,
Ἁφὴν, ἄκουσμα, γεῦσιν, ὄσφρησιν, θέαν.
Καὶ ταῖς ἁφαῖς μὲν τῷ δικαστῇ δακτύλῳ
Ζυγοστατεῖ τὸ χαῦνον ἢ τοὐναντίον.
Στενὰς δὲ ποιεῖ τῆς ἀκοῆς εἰσόδους,
Καὶ κοχλοειδεῖς τὰς θύρας ἐργάζεται,
Ὡς ἂν καθ' εἱρμὸν εἰσρέωσιν οἱ κτύποι,
Καὶ μὴ καταπλήξωσι τοὺς ἔσω πόρους,
Ἤχοις ἀτάκτοις ἐμπεσόντες οἱ ψόφοι.
Σαρκοῖ δὲ καὶ τὴν γλῶτταν ἠραιωμένην.
Δέον γὰρ αὐτὴν δέρμα σομφῶδές γ' ἔχειν,
Πρὸς τὰς ἀνακλάσεις τε τῶν ἐδεσμάτων,
Καὶ τὰς ἑτοίμους ἀντιλήψεις τῶν πόρων,

Δι' ὧν λαβοῦσα τὰς τροφὰς ἡ χαυνότης,
Πρὸς πᾶν τὸ ῥευστὸν εὐδιάκριτος μένει.
Πέθω δὲ ϗ σύριγγας εὐπόρους ἔχει,
Ὀσφραντικῆς ὄχημα, ϗ βιοτρόφου
Πνοῆς ἀγωγούς· ὧν φραγέντων ἐκ πάθους.
Ἀγωνιᾷ τὸ ζῶον, ὡς ἐν ἀγχόνῃ,
Ἢ ϗ περιπνεῖν ἐκβιάζει τὸ σῶμα.
Μιμουμένη δὲ τὰς ἐν οὐρανῷ θέσεις,
Φωστῆρας ἀντέθεικεν ὀφθαλμοὺς δύο,
Ὅπως ἔχοιμεν ταῖς βολαῖς τῶν ὀμμάτων,
Τὸν ἀέρα πλήττοντες. ὡς οἱ τοξόται,
Φῶς φωτὶ σύρειν, ὡς τὸ πῦρ ἐξ ἀνθράκων.
Ἐκ τῶν ἄνω δὲ κεφαλῆς ἀκροστέγων,
Νεύρων διατρήσασα σωλῆνος δίκην,
Καὶ πνεῦμα φωτὸς ἐμβαλοῦσα τῷ πόρῳ,
Τοῖς μὲν χιτῶσι συγκαλύπτει τὰς κόρας,
Ὡς εἴ τις οἴκοι συμφυλάττει παρθένους·
Ὀπὴν δὲ μικρὰν ἐξανοίγει τῷ πόρῳ.
Ὅπως τὸ πνεῦμα ὀχετῶν διατρέχον,
Μήτε σωθῇ, τῆς ὁδοῦ πεφραγμένης.
Καὶ πνευματώσῃ ϗ σκοτώσῃ τὴν θέαν,
Καὶ τὰς ἐπιχύσεις προσπλάσῃ ταῖς ὄψεσι.
Μὴ δ' αὖ ταράξῃ ϗ θολώσῃ τὰς κόρας,
Ὁρμαῖς ἀπλήστοις ἐκχυθὲν πρὸς τὸ πλάτος.
Ὡς ἐμεγαλύνθη τῶν σοφῶν σου κτισμάτων
Ἡ γνῶσις ἡ δύσφρασις, ἡ τοῖς ἀγράφοις
Λόγοις ἀπαγγέλλουσα τὸν θεῖον γνόφον·
Καὶ νῦν ἐφῆπται τῆς ζοφώδους καρδίας,
Δαδοῦχον εἶναι τὴν ὀπτὴν τῶν ὀμμάτων,
Ὥσπερ δι' αὐτῶν ἐμβαλοῦσα τοὺς ῥύπους,
Πάλιν δι' αὐτῶν ἐκβάλῃ τὰ δάκρυα,
Τὰς εἰσόδους πλύνασα ταῖς διεξόδοις.

Εἰ τοὺς λαβυρίνθους δὲ τῶν λόγων φράσῃ,
Ὁ τῶν ἀδήλων οὐσιῶν ζυγοστάτης,
Καὶ πῶς ὁ νοῦς σύνεστι πηλίνῳ βάρει,
Καὶ πνεῦμα πηλῷ καρτερεῖ συνημμένον·
Καὶ πῶς ἐν ὕλῃ τὴν ἀϋλίαν ἔχει,
Εἰ μηδὲν αὐτὸν ὑλικὸν περιγράφει.
Ἢ πῶς μέγιστον ὄμμα τῆς ψυχῆς ἔφυ,
Καὶ τῶν ἀδήλων ὀπτικοὺς ἔχει πόρους·
Καὶ νῦν μὲν εἰς γῆν ταῖς ἐνεργείαις μένει,
Νῦν δὲ πρὸς αὐτὸν ἅλλεται τὸν αἰθέρα·
Καὶ πτηνὸς ἀρθεὶς, ϗ τὸν ἥλιον φθάσας,
Τὰς τῶν ἄνω τε ϗ κάτω ζητεῖ φύσεις·
Καὶ ταῖς μὲν ἀρκεῖ, τὰς δὲ συμμέτρως βλέ-
Τῶν δὲ στοχασμοῖς ἐννοεῖ τὰς εἰκόνας. (πει,
Καὶ τὴν ὄρεξιν μηδαμοῦ στῆσαι θέλων,
Ἐφίεται μὲν τῆς ἁπάντων αἰτίας,
Καὶ τὴν ἐκείνης γνῶσιν ἀθρῆσαι θέλει·
Καὶ πολλὰ κάμνει, ϗ τὸν ἔσχατον πόλον
Δοκεῖ παρελθεῖν· ἀλλ' ἐκεῖ μύει μόνον.
Εἰ ϗ διαυγοῦς εὐπορήτει καρδίας.
Ὅταν δὲ τούτους τοὺς πολυπλόκους μίτους
Λύσῃ σχολάζων, ϗ βαθύνῃ, ϗ φράσῃ,
Ὅπως ὁ κρυπτὸς τῶν φρενῶν ὁδοστάτης,
Ὁ ψυχοκλέπτης, ὁ φθορεὺς τῆς καρδίας,
Ἡ τοῦ σκότους ἔπαρσις, ὁ πρῶτος δράκων,
Ἔξωθεν ἔνδον ἡδονὰς παρεισάγει·
Σπείρων λογισμοὺς εἰς γονὴν ἁμαρτίας·
Ἢ πῶς τυραννεῖ ϗ μεταίρει τὴν φύσιν,
Εἰς παρὰ φύσιν τῶν παθῶν κτηνωδίαν.
Καὶ πτηνὰ μὲν δείκνυσι τὰς κούφας φρένας,
Σύας δὲ πόρνους, ϗ λύκους τοὺς ἅρπαγας,
Σφῆκας δὲ πλήκτας, θυμικοὺς δὲ παρδάλεις



Ποιεῖ δὲ τοὺς εἴρωνας ἀθλίους κύνας,
Σαίνειν δοκοῦντας, ϗ δάκνειν ἠπειγμένους.
Ὄφεις δὲ πικροὺς ἐκτελεῖ τοὺς βασκάνους,
Τὸν ἰὸν ἐνθεὶς τῇ κακῇ περιπλάσει·
Θήγει δὲ πικρὰ ϗ τὰ τοῦ τύφου βέλη·
Βλάπτει γὰρ αὐτὰ ψυχοκόμπῳ φαρμά-
Τιμῆς ἀτίμου, πτώσεως ἐπηρμένης. (κῳ.
Ὄγκου ταπεινοῦ, δυσκλεοῦς ἀδοξίας,
Θρήνῳ γελῶντι τὴν σκιὰν τοῦ παιγνίου.
Εἰδωλολατρείαν δὲ τοῖς φιλαργύροις,
Τὴν ῥίζαν ἐντίθησι τῶν κακῶν ὅλων·
Ἣ κἂν κορεσθῇ μᾶλλον, οὐκ ἔχει κόρον,
Ἀλλ' εἰς ὀρέξεις τήκεται ϗ φλεγμονὰς,
Τῇ πλησμονῇ διψῶσα, ϗ τῇ προσθέσει
Τὸν βρασμὸν ἐξάπτουσα τῆς χρυσῆς μέθης.
Ἢ πῶς τοσοῦτον ϗ πισὼν ἔχει κράτος,
Ὡς μὴ μόνον τὸ σῶμα βαρβάρου δίκην,
Ἀντιστρατεύειν πρὸς μάχην τοῦ πνεύματος·
Ἤδη δὲ καὐτῆς ἅπτεται τῆς καρδίας,
Καὶ δουλαγωγεῖ τὴν ἐλευθέραν φύσιν,
Καὶ τὰς ἐν ἡμῖν αὐτοδεσπότους φρένας
Ἐν αἰχμαλώτῳ συμφορᾷ περιτρέπει.
Πάθη τε πολλὰ ϗ τὰ λοιπὰ συμπνέειν·
Ἐλίσσεται γὰρ λοξοειδῶς, ὡς ὄφις,
Ἔστι δὲ δεινὸν ἐν φρονήσει θηρίον·
Στιχοδρομεῖ δὲ τὴν κάτω φορὰν τρέχων·
Κεχρημένος γὰρ ὡς ποσὶ τῇ κοιλίᾳ.
Λείχων δὲ τὸν χοῦν τοῖς λύκων τάχα τρόποις,
Καὶ γαστριμάργῳ τῶν παθῶν ὑπερζέσει,
Κινεῖ τὸ συμπέρασμα τῆς ἁμαρτίας,
Πρὸς ἣν ἕκαστος γεῦσιν ἡδέως τρέχει.
Καὶ συγκεραννὺς ἡδονῇ τὴν πικρίαν,

Μελικράτῳ φθείρει με δηλητηρίῳ.
Σύμβουλος ἐχθρὸς, ϗ κατήγορος φίλος.
Σφαγεὺς προσηνὴς, ϗ φονεὺς συνεργάτης.
Πλανῶν ὁδηγὸς, εὐμενὴς ὁδοστάτης,
Ἄσπονδος εὐπρόσδεκτος, εὐπειθὴς δράκων·
Θέλγει γὰρ ἡμᾶς, μηδενὸς προκειμένου·
Πρόσωπα μορφοῖ, ζωγραφεῖ διαπλάσεις.
Τὸν νοῦν ἐρευνᾷ, ψηλαφᾷ τοὺς δακτύλους,
Γέλωτα ποιεῖ, συμβιβάζει τὸ σῶμα·
Καὶ τῇ δοκήσει δ' ἀφανοῦς ἁμαρτίας,
Ἔμπρακτον ὠδίνησε τὴν ἁμαρτίαν.
Οὐκ ἀγνοῶν γὰρ τῶν ἐκείνου φασμάτων
Τὸ δυσπαθὲς φρόνημα, ϗ τοῦτο πλέον
Θλίβει με ϗ δάκνει με καρκίνου δίκην,
Φεύγοντα ϗ πράττοντα τὴν ἁμαρτίαν·
Πλὴν τὸν γέροντα τοῦτον ἀρρήτως ὄφιν,
Τὸ τοῦ σκότους κάτοπτρον, ἡ θεία κρίσις
Προὔθηκεν ἡμῖν, εἴ γε τοὺς κατ' εἰκόνα
Γραφέντας ἡμῖν μὴ χαράξομεν τύπους,
Ὅπως ἔχωμεν αὐτὸν ἀντὶ παιγνίου,
Παίζοντες εἰς δράκοντα, κἂν χάνῃ μέγα.
Πολλοὶ γὰρ αὐτοῦ τὴν ἐπηρμένην φρένα,
Καὶ τὴν ἄφυκτον ἐν μάχαις ἀϋλίαν,
Ὕλην ἔχοντες σαρκικῶν βαρημάτων,
Καὶ τῇ γεώδει συμπεφυρμένοι κόνει,
Ἤμβλυναν, ἀπέστρεψαν, ὥσπερ ἀσπίδας
Τὰ σαθρὰ πρὸς γῆν ἀντιπέμποντες βέλη.
Εἰ ταῦτα πάντα πρὸς διάσκεψιν λάβοι,
Καὶ τῶν δοκούντων εὐτελῶν ϗ συντρόφων,
Τὸν σφυγμὸν εὑρὼν, τὴν διάγνωσιν φράσοι·
Ἢ ϗ προκόπτων θεῖον ὄργανον λάβοι,
Φωνὴ βοῶντος εἰς ἐρήμους καρδίας·

SISMANOGLIO MEGARO

Ἢ τῇ πυράγρᾳ τοῦ χερουβὶμ ἐγγίσας.
Λάβοι παρ' αὐτοῦ τοῦ λόγου τὸν ἄνθρακα·
Ἢ τὸν πυραυγῆ δίφρον, ἢ τοὺς ἐμφλόγους
Ἵππους ἐλαύνων, οὐρανῶν ὁδὸν δράμοι.
Ἱππεὺς δὲ δειχθῇ τῷ βίῳ μετάρσιος,
Τῆς σαρκὸς αὐτὸν μὴ κατασπώσης κάτω.
Ἢ πῦρ κατάξει καὶ κρεμάσει τὴν δρόσον,
Ἕλκων, μεθέλκων, ἀντιβάλλων τὰς φύ-
Φράξει δὲ πίστει τῶν λεόντων τὸ στόμα, (σεις·
Δρόσον δὲ δείξει τῆς καμίνου τὴν φλόγα·
Ἢ καὶ πατάξει Νεῖλον εἰς αἷμα τρέπων,
Πείσει δὲ λάμπειν ἐν ζόφῳ τὸν ἥλιον,
Σχίσει δὲ τὴν ἄβυσσον εἰς τρίβον ξένην,
Στύλων δὲ δείξει νυκτὸς ἔμπειρον σέλας,
Ἄρτους δὲ σίτου μὴ προκειμένου πλάσει,
Λιμὸν δὲ θάλψει τῇ βροχῇ τῶν ὀρνέων,
Πηγὰς δὲ πέτραν ἐκβαλεῖν ἀναγκάσει.
Τείνοι δὲ χεῖρας εἰς τροπὴν ἐναντίων,
Τοῦ σταυροειδοῦς συμβόλου τὴν εἰκόνα.
Ἴδοι δὲ πυρσῷ μὴ φλογισθεῖσαν βάτον,
Τὰ κρυπτὰ τοῦ μέλλοντος εἰκονίσματα.
Τότε προκύψας, ὡς ὁ Μωσῆς, ἐμφόβως,
Καὶ καπνὸν εὑρὼν ἐν θυέλλῃ καὶ γνόφῳ,
Καὶ πρὸς τὸ νύγμα τῆς ὀπῆς ἀφιγμένος,
Μόλις τὰ κρυπτὰ τῶν ὀπισθίων μέρη
Θεοῦ σκεπήσει, καὶ πλέον μηδὲν βλέπων,
Πλέον ποθήσῃ τὸν κεκρυμμένον πόθον·
Ἀργοὶ γάρ εἰσι τῶν ἐρώντων οἱ πόθοι,
Εἰ συντόμως τύχωσι τοῦ ποθουμένου.
Καὶ πᾶς ἐρευνῶν τοῦ Θεοῦ τὴν οὐσίαν,
Ὅσον θεωρεῖ, πρὸς τοσοῦτον συμμύει.
Εἰ γάρ τις εἰς ἄβυσσον, ἀπλήστοις κόραις,
Ἢ καὶ πυραυγῆ δίσκον ἡλίου βλέπων,
Ὅσον θεωρεῖ, τὰς κόρας ἀμβλύνεται.
Ποῖος πανόπτης εὐτονήσει νοῦς βλέπειν,
Τὸν τοῦ καθ' ἡμᾶς ἡλίου φωτὸς πόρον;
Ἀλλ' ὦ παρὼν πόρρωθεν ἑδραίῳ τάχει,
Ὁ πᾶσι γνωστὸς καὶ δυσεύρετος μένων,
Καὶ πᾶσι ληπτός, καὶ κρατεῖσθαι μὴ θέλων·
Πᾶσι γὰρ ὢν ἄγνωστος, ἐγνώσθης ὅλοις
Ἐξ ὧν ἐνεργεῖς, εἰς τὸ πάντας σε βλέπειν.
Ὅσον γὰρ ἐν σοὶ μέγεθος τῆς οὐσίας,
Ἀκαταλήπτοις ἐξοχαῖς συνεστάλη,
Τοσοῦτον ἡμῖν τὴν ἐνέργειαν βλέπειν
Τὴν σὴν ἐφῆκας, οὐκ ἐν ἀγγέλοις μόνον,
Οἷς τὰς πυραυγεῖς ἐμφυτεύσας οὐσίας
Ὕλην ἄϋλον μυστικῶς ἀπειργάσω·
Ἀλλ' εἴ τις ἡμᾶς οὐσιῶν ὑπερτέρα
Λέληθε τάξις οὐρανοῖς, ἐν αἰθέρι,
Ἐν παντὶ κόσμῳ, τῷ τε νῦν ὁρωμένῳ,
Καὶ τῷ πρὸ αὐτοῦ, καὶ μετ' αὐτὸν εἰ θέλεις.
Χωρεῖ γὰρ εἰς πῦρ, εἰς ὕδωρ, εἰς ἀέρα,
Εἰς γῆν, ἐν ἄστροις, ἐν φυτοῖς, ἐν ὀρνέοις,
Εἰς πᾶν τὸ νηκτόν, εἰς τὸν ἕρποντα στόλον.
Εἰς πάντα χόρτον, εἰς τὸν ἄνθρωπον πλέον,
Δι' ὃν τοσαῦτα καὶ μεθ' ὃν παρατρέχει.
Ἡ σὴ γὰρ ἀκτὶς μηδαμοῦ χωρουμένη,
Εἰς πάντα χωρεῖ, μηδαμοῦ στενουμένη·
Οὐ τῶν μεγίστων οὖσα τεχνῖτις μόνον,
Ὁμοῦ δὲ πάντων ἀσχέτως δεδραγμένη·
Ἴθυνον ἡμᾶς, ἔνθα τῆς κοσμουργίας
Τῆς σῆς ἔνεστιν ἱστορεῖν τὰς ἐμφάσεις.
Τίς γὰρ θεωρῶν μῆλον ἢ βαφὴν ῥόδου,
Οὐκ εὐθὺς ἔγνω τῆς βαφῆς τὸν ἐργάτην;



Ἢ ποῖος εἰς ὄσφρησιν ἐλθὼν βαλσάμου,
Οὐ σὲ προσεισέπνευσε βαλσάμου πλέον;
Τίς κέδρον ὑψοῖ, καὶ πλατύνει τοὺς κλάδους,
Καὶ πικρὸν ἐντίθησι τῷ ξύλῳ μύρον;
Τίς νάρδον ἕψει, καὶ μυρίζων τὴν πόαν,
Ἀρωματίζειν ἐκβιάζει τὸν στάχυν;
Πόθεν δὲ φοῖνιξ ἐν καταξήροις τόποις,
Καρποὺς μελουργεῖ τῶν ἐνίκμων βοτρύων;
Τίς καὶ τὰ κίτρα ταῖς ἀκάνθαις ὁπλίσας,
Συνῆψεν αὐτοῖς αὐτοχάλκευτα ξίφη;
Τίς σπαργανοῖ τὰ τέκνα τῶν φυτῶν ὅλων;
Καὶ τοῖς μὲν ἐντίθησιν ὀστώδη βάσιν.
Οἷς ἐστιν ἐκτὸς ἀσθενὴς ἡ γυμνότης.
Τοῖς δὲ προβάλλει στερρὸν ἔξωθεν δέρας.
Οἷς ἐστιν ἐντὸς εὐπαθὴς ἡ χαυνότης.
Τίς τῷ λέοντι θάρσος, ἢ τῇ δορκάδι
Δρόμους ἐνῆκεν ἀντιφάρμακον φόβου;
Τίς ταῦρον ἐκράτυνεν ὥσπερ ἐργάτην,
Ἀροτριᾶν μέλλοντα; τίς τῶν ὀρνέων
Τὴν γλῶτταν ἐστόμωσεν ὀργάνου δίκην;
Ὡς καὶ νομίζειν τοὺς κενοὺς μυθογράφους,
Εἶναι παρ' αὐτοῖς γνωστικὴν ὁμιλίαν.
Πόθεν δὲ καὶ γρὺψ εὐσθενὲς λαβὼν κράτος,
Καὶ βοῦν ἀνασπῶν ἐξ ἑτοίμων ἁρπάγων,
Καὶ πτηνὸς αἴρεται, καὶ βαδίζει τετράπους;
Τίς τὰς καμήλους καίπερ οὔσας ὀργίλους,
Ἔπεισε μητρὸς μὴ μιαίνεσθαι γάμῳ;
Καὶ κτῆνος οὕτω βράζον εἰς λάγνον πάθος,
Πρὸς τὴν ἄθεσμον μῖξιν ἐγκρατὲς μένον,
Πέρσας ἐλέγχει τοὺς θολοῦντας τὸν βίον.
Ποίους ὁρισμοὺς ἐκμαθὼν Ἱπποκράτους,
Τετρωμένος δίκταμον ἐμφαγὼν τράγος,
Τὸν ἰὸν εὐθὺς τῶν βελῶν ἀποπτύει;
Ποῖος Γαληνὸς ἱεράκων τὴν νόσον
Ὀπῷ καθαίρει πικροφύλλων θριδάκων,
Ἀχλὺν δι' αὐτῶν ὀπτικὴν ἀποξέων;
Καὶ πάρδαλις μὲν λύθρον αἰγὸς ἀγρίου
Πίνει νοσοῦσα, καὶ καθαίρει τὴν νόσον.
Ὑγροῖς δὲ φύλλοις ἐκ δρυὸς καθαρσίου,
Χυμοὺς κάμηλος ἐξεμεῖ κεκαυμένους.
Χλωρὰν δὲ τὴν ἄγρωστιν εἰ φάγῃ κύων,
Χολῆς μελαίνης ἐξερεύγεται πάθος.
Λύκοι δὲ τὴν γῆν, οἱ λαγοὶ δὲ κανθάρους,
Λέων πιθήκους, οἱ δὲ κύκνοι βατράχους.
Τράγοι δὲ τὴν ἄπεπτον ἀσκαμμωνίαν
Δειπνοῦντες, ἐκπτύουσι τὴν ἀπεψίαν.
Ἀσκληπιοῦ δὲ τοῦ νόθου Θεοῦ δίχα,
Τρώγων πελαργός, οὐ νοσήσει, τοὺς ὄφεις.
Πόθεν κατώβλεψ πυρσὸν ἔμφυτον πνέων,
Ἐκ ῥινὸς ἐμφύσημα πυρφορουμένης,
Κάτω τὸ ῥεῦμα τῆς πυρᾶς ἀντιστρέφει·
Πόρρω δὲ πέμπει τὴν φορὰν, ὡς τοξότης,
Αἰτναίαν ὥσπερ καὶ κατάρρυτον φλόγα,
Δίκην κεραυνοῦ πυρσοβολῶν ἀτμίδα·
Εἰ μὴ δὲ θεσμὸν εἶχε συγκεκυφέναι,
Καὶ τῆς φλογὸς τὸ βράσμα συγκινεῖν κάτω,
Τὴν γῆν βαρύνειν εἶχεν ἂν τοῖς λειψάνοις.
Πόθεν δὲ τὰ προὔχοντα τῶν ζώων γένη,
Ἐκ τῶν δοκούντων μετρίων φαυλίζεται;
Καὶ πᾶς μὲν ἵππος σηρομάστιγα τρέμει,
Οἴστρῳ δὲ φεύγει ταῦρος ἐπτοημένος.
Φοβεῖ δὲ τὸν λέοντα τυπτηθεὶς κύων.
Ἡμᾶς δὲ κώνωψ εὐτελὴς ἀναστρέφει.
Δάκνων, προσαυλῶν, ἐξυπνίζων πολλάκις.

SISMANOGLIO MEGARO

Καὶ τῶν ἐλεφάντων ἐκφοβοῦσι τὸ κράτος,
Τὰ μικρὰ γρυλλίζοντα τῶν χοίρων βρέφη.
Καὶ μικρὸς ὕλλος ὑγροχέρσῳ θηρίῳ
Φθορὰν ἐφιστᾷ τῇ τομῇ τῶν ἡπάτων·
Λάθρα γὰρ αὐτῷ προσβαλὼν κεχηνότι,
Διατρέχει τὰ σπλάγχνα σωλῆνος δίκην,
Τεμὼν δὲ κρυπτὴν ἐξ ὀπισθίου θύραν
Φονεὺς λαθραίας οἴχεται σεσωσμένος.
Ἄλλη δέ τις πέφυκεν ὀρνέου φύσις,
Ἣ τοὺς ὀδόντας βόσκεται τοῦ θηρίου,
Καὶ τοῖς περιττοῖς ἑστιᾶται λειψάνοις·
Στοργὴν δὲ δεικνύουσα γνησίου φίλου,
Καὶ τῆς τραπέζης τὴν τροφὴν αἰδουμένη,
Ὅταν τὸν ὕλλον γειτνιῶντα προσβλέπῃ,
Κράζει, πτεροῦται, τοῖς ποσὶ περιτρέχει,
Κνήθει δὲ τοῖς ὄνυξι, καὶ πρὸ τοῦ φόνου,
Κῆρυξ ὀλέθρου γίνεται ζωηφόρος·
Καὶ τῶν τραπεζῶν ἐξελέγχει τοὺς φίλους,
Μὴ συμμαχοῦντας εἰς ἀνάγκην τοῖς φίλοις·
Ἐχρῆν γάρ, οἶμαι, τὰς ἐν ὀγκώσει φύσεις,
Ἐκ τῶν ἀμυδρῶν συμμαχεῖσθαι σωμάτων,
Ὡς μήτις αὐτῶν τὰς ἐπάρσεις προσβλέ-
Πάθοι λεληθὼς δυσσεβοῦς ὑποψίας· (πων,
Ὃ καὶ πέπονθεν ἡ κατ' Αἴγυπτον μέθη,
Οὐ τοῖς μεγίστοις ἠπατημένη μόνον,
Ἀλλ' ἄχρι φαύλων ἑρπετῶν καὶ θηρίων,
Τῆς δυσσεβείας ἐκπιοῦσα τὸν σάλον.
Οἷς καὶ μαθητεύσαντες Ἑβραῖοι πάλαι,
Τὸν αὐτὸν ἐζήλωσαν ἐν κακοῖς βίον,
Καὶ μέχρι μυίας, ἐκθεοῦντες τὴν κτίσιν.
Τίς καὶ τὰ κήτη τῆς θαλάσσης τοὺς λόφους,
Ἐν ταῖς ἐρήμοις τῆς ἀβύσσου συλλέγει;
Μήπως ἐπεισφρήσαντα ταῖς λεωφόροις
Ὁδοστατήσει καὶ ταράξει τὰ σκάφη.
Καὶ τίς τὸν ἰχθὺν τὸν βραχὺν τὸν ναυκράτην
Ποιεῖ τρεχουσῶν ὁλκάδων ἀντιστάτην,
Καὶ πλωτὸν εὐόλισθον ἀνταίρει στόλον,
Καὶ ταῖς πνεούσαις ἀντιτάττεται βίαις·
Πτέρυξ γὰρ αὐτὸν πρὸς τὰ τοῦ στέρνου μέσα,
Κυκλοῖ περιπτύξασα κυμβάλου δίκην·
Ἣν ταῖς θεούσαις ἀντερείδων ὁλκάσιν,
Ἱστᾷ τὸ πνεῦμα, καὶ τὸ ῥεῦμα, κἂν τρέχῃ,
Καὶ κυρτὸν ἀφρὸν ἀντεπικλᾷ τῷ σάλῳ,
Ἕως μαχαίραις ἢ ξυροῖς τεθηγμένοις,
Τέμῃ τὸν ἰχθὺν τεχνικὸς βυθοδρόμος,
Ἁλσί τε τοῦτον ἐμβαλὼν ἐξικμάσοι,
Καὶ γίνεται κλεὶς μητρικῶν σπαραγμάτων,
Ὅτε σφαδάζει καὶ προπηδῆσαι θέλει,
Καὶ τοῖς ὀλίσθοις ἐκραγῆναι τὸ βρέφος.
Πόθων δὲ διττοὺς, ὥσπερ ἡ τρυγὼν, γάμους,
Τοῦ πορφυρίωνος ἡ φύσις βδελύττεται;
Ὃς καὶ παρ' ἡμῖν εἰ σκοπήσει μαχλάδα,
Λιμῷ τὸ σῶμα τήκεται τεθλιμμένος·
Θέλων δὲ πόρνης μηδὲ τὴν θέαν βλέπειν,
Λάλῳ σιωπῇ σωφρονίζει τὸν βίον.
Τίς τεκνοποιεῖν δεικνύει τὴν ἔγχελυν,
Ἄμητρον οὖσαν καὶ σπορᾶς ἀλλοτρίαν·
Ἣ τῶν ἑαυτῆς ἀντιπλεύρων ξυσμάτων,
Τὰ τμήματα σπείρουσα πετραίοις πάγοις,
Φύει τὰ τέκνα τῇ κυήσει τῇ ξένῃ,
Καὶ πλευρομήτωρ γίνεται θαλαττία·
Καὶ μὴ λαλοῦσα δογματίζει τῇ φύσει,
Ὡς οὐδὲν ἐξήμαρτε Μωσῆς, εἰ λέγοι
Πλευρὰν γενέσθαι τοῦ βίου λοχεύτριαν·



Οὐ συγχύσεις γὰρ ἐγκαλεῖν ἀσυμφόρους,
Τῷ συντελεστῇ τῶν ἀμηχάνων θέμις·
Ὑμνητέον δὲ μᾶλλον αὐτὸν, ἡνίκα
Ἐκ τῶν παρὰ φύσιν δημιουργεῖ τὴν φύσιν·
Καὶ τοῦτο ποιεῖ δόγμα τῆς ἐξουσίας,
Ἄϋλος ὢν ἔνυλον εἰ κτίζει φύσιν,
Καὶ τρεπτὸς οὐκ ὢν ἄτρεπτον εἰ ποιεῖ βίον.
Τίς ἐνδιδύσκει τὴν χελώνην ὀστράκῳ.
Καὶ τὴν ταπεινόσωμον ἐξειργασμένην
Δείκνυσιν αὐτὸς οἰκίας φορουμένην;
Τίς ἐμφυτεύσας τῷ διαυγεῖ λαμπύρῳ
Σπινθῆρα λευκὸν, ἑρπετὸν ποιεῖ σέλας,
Τὸν αὐτὸν ἕρπειν καὶ πτεροῦσθαι θεσπίσας;
Ποίαις δὲ πηγαῖς, ἢ βυθοῖς κεκρυμμένοις,
Δρᾷ σαλαμάνδρα τὰς καμίνους αἰθάλην;
Τίς ἐντέθηκε τοῖς πυρογόνοις φρένας,
Διάκρισίν τε τοῦ μαθεῖν τὸ συμφέρον;
Ἐκ τῆς ῥοπῆς γὰρ τοῦ πυρὸς παρηγμένοι,
Περιτρέχουσιν, ὡς νεοττοὶ, τὴν φλόγα
Θηλὴν ἔχοντες· καὶ τροφὴν τὴν λαμπάδα,
Καὶ τὴν ἑαυτῶν πυρφόρον μαιευτρίαν
Ἀεὶ ποθοῦσι· καὶ τὸ παμφάγον στόμα
Μόνον παρ' αὐτοῖς γίνεται ζωοτρόφον.
Τίς τεκνοποιοὺς δεικνύει τοὺς κανθάρους,
Τῶν πρὸς τὸ τίκτειν οὐχ ὑπόντων ὀργάνων;
Οἱ συλλεγέντες κόπρον ἠμελημένην,
Σφαιροῦσιν αὐτὴν εἰσβαλόντες ἡλίου,
Ἕως πυρωθεὶς τῶν κυλίνδρων ὁ στρόφος,
Ἐγκυμονήσει τὴν σπορὰν τῇ κοπρίᾳ,
Οὕτω τὸ λοιπὸν ἐξ ἀμήτορος τόκου,
Γονὴν νεουργήσουσιν ὠδῖνος ξένην.
Ἅπερ παρελθὼν ὁ θρασὺς μυθογράφος·
Τῷ Πορφυρίῳ γλῶσσα μὲν τεθηγμένη,
Γνώμης δὲ φύσις ἀστατεῖν εἰθισμένη·
Μύθοις ἐπεσκίρτησεν ἠπατημένοις,
Λειμῶνας εὑρὼν, καὶ θερίζων τὰς βάτους·
Ἐχρῆν γὰρ αὐτὸν ταῦτα μᾶλλον θαυμάσαι,
Καὶ παγκρατὲς τὸ θεῖον ὑμνῆσαι κράτος,
Πῶς καὶ δι' αὐτῶν ἔρχεται τῶν ἐσχάτων·
Καὶ μὴ Θεοῦ μίμημα τολμῆσαι λέγειν,
Τοὺς κοπρομόχθους καὶ δυσώδεις κανθάρους,
Ἐφ' οἷς δοκοῦσιν ἐκ ποδῶν ἀντιστρόφων,
Τὴν σφαιροειδῆ κόπρον ἀντιστρέφειν.
Καὶ πρᾶγμα ποιεῖν τῶν ἄνω κυλισμάτων,
Καὶ σχηματουργεῖν οὐρανοὺς ἐκ κοπρίας.
Ὢ νοῦς ἀμυδρὸς, ὢ θρασύστομος βία·
Εἰ τῷ Θεῷ μὲν εἷς ὑφέστηκε πόλος,
Τῷ κανθάρῳ δὲ γίνεται καθ' ἡμέραν;
Τίς ἀσπόρῳ τοὺς γῦπας ἐξάγει τόκῳ,
Φυλῆς παρ' αὐτοῖς οὐχ ὑπούσης ἄρρενος,
Σκιὰν προδεικνὺς γνωστικῆς ἀφθεγξίας;
Οἱ τοῦ γάλακτος ἐμφραγέντων τῶν πόρων·
Μόνοι γὰρ ἐκβλύζουσιν ὀρνίθων γάλα·
Τὸν μηρὸν ἐκτέμνοντες ᾑματωμένοις
Γάλακτος ὁλκοῖς ζωπυροῦσι τὰ βρέφη.
Καί μοι δοκεῖ τὸν γῦπα σεμνῦναι πλέον,
Τῇ συμπαθείᾳ τῆς γονῆς τετμημένον,
Ἢ τὸν μέγιστον εἰς ἀσέλγειαν Δία,
Τμηθέντα μηρὸν εἰς γονὴν ὀλεθρίαν.
Τίς τῶν πελεκάνων ἀντὶ λόγχης τὸ στόμα,
Ξένοις διωργάνωσε μακρακοντίοις,
Καὶ χάσμα τούτοις ἐξανοίγει παμφάγον
Πρὸς τὰς ἀπλήστους ἁρπαγὰς τῶν ἰχθύων;
Ποίᾳ δὲ δεινότητι τὰς κόγχας, ὅταν

Ἐν τοῖς ἑαυτῶν συσταλῶσιν ὀστρέοις,
Τέχνη διαστέλλουσιν ἠκριβωμένη;
Συνημμένας γὰρ τὰς πτυχὰς τῶν ὀστράκων,
Ἀμηχάνως ἔχοντες εἰς λύσιν φέρειν,
Χαλῶσιν αὐτὰς εἰς τὸ πῦρ τῶν ἐντέρων,
Λύσιν δὲ πάσχει τῶν πτυχῶν ἡ στερρότης,
Τῇ θερμότητι τῶν ἔσω χαυνουμένη·
Θᾶττον δὲ τὰς πρὶν ἐξεμοῦντες συνδέσεις,
Γυμνῇ διαρπάζουσι τὰς σάρκας μάχῃ,
Τὴν ὀστρακώδη μὴ φεροῦσας ἀσπίδα.
Τίς τὸν μεγιστόφωνον ἔνδον τῆς στέγης,
Ἔπεισεν ὄρνιν ὡρολογεῖν εὐφρόνην·
Καὶ μὴ παρόντα προβλέπειν τὸν ἥλιον,
Καὶ τοὺς ἐνύπνους ἐξυπνίζειν ἐργάτας;
Θεὸς δὲ ποῖος τῶν Ὁμήρου πλασμάτων
Γῆρας ξέει Φοίνικος ἐκπυρουμένου,
Λυπρῷ δὲ τὸν γέροντα τεφρώσας τάφῳ,
Ζῶντα προβάλλει τοῦ τάφου τὰ λείψανα;
Ἑλληνικοῖς Ἕλληνες εἴξαντες λόγοις,
Πείσθητε λοιπὸν τὴν ἀνάστασιν σέβειν.
Τίς μαντικοὺς δίδωσι τοῖς πτηνοῖς ὄρους;
Μαντεύεται γὰρ ὑετοὺς ἐν αἰθρίᾳ
Τῆς μακρογήρου τῆς κορώνης τὸ στόμα.
Πρὸ τοῦ δὲ πνεῦσαι, τὰς πνοὰς προδεικνύει
Αἴθυια κολπώσασα τὸ πτηνὸν νέφος.
Ἶβις δὲ ποίων εὐπορεῖ διδασκάλων,
Καὶ τοῦ Γαληνοῦ δείκνυται σοφωτέρα;
Γῆς γὰρ κάτωθεν ἐμφραγείσης ἐξόδου,
Ἀμηχανοῦσα πῶς ἀνοίξει τὴν θύραν,
Τὸν μακρὸν ἐκτείνασα λοξῶς αὐχένα,
Σίφωνα γοργὸν τεκτονεύει τὸ στόμα,
Καὶ χυλὸν ἅλμης ἐμβαλοῦσα τοῖς ἔσω,
Τὰ ξηρὰ ῥευστοῖς ἐξεφόρτωσεν βάρη.
Τίς ἀσπόρῳ τοὺς γῦπας ἐξάγει τόκῳ,
Φυλῆς παρ' αὐτοῖς οὐχ ὑπούσης ἀρρένος;
Οἱ τὴν καθ' ἡμᾶς πυρφοροῦσαν παρθένον
Δεικνύντες αὐτὴν ὡς ἐφικτὸν ὀρνέῳ.
Ἔδει γὰρ οἶμαι τοῦ τοσούτου θαύματος
Ἔχειν ἀμυδρὰς ἐμφάσεις καὶ τὴν φύσιν,
Ὡς μήτε δόξῃ καινοτομεῖσθαι τόκῳ.
Μήτε πρὸς ἄκρον ἱστορεῖν τὰ τοῦ τόκου.
Οὐ γὰρ μένουσιν ὡς ἐκείνη παρθένοι,
Ὅταν τὸ τεχθὲν εἰς διέξοδον δράμῃ.
Ῥήξῃ τὰ κλεῖθρα καὶ παρέλθῃ τὰς θύρας.
Εἰ δ' αὖ γε καὶ τίκτουσιν ὀρνίθων γένη,
Ἐγκυμονοῦντα τῇ φορᾷ τοῦ πνεύματος·
Πῶς οὐχὶ μᾶλλον ἡ τεκοῦσα παρθένος
Τὸ πιστὸν ἕξει τῆς γονῆς τῆς ἀσπόρου,
Ἐκ ζωοποιοῦ πνεύματος πληρουμένη;
Ποῖος δὲ Φοίβου μαντικώτατος τρίπους
Τὸν μῦν διδάσκει τὸν τυφλὸν, τὸν παμφάγον,
Ἐν λαβυρίνθοις ὄντα τῶν ὀρυγμάτων,
Φράττειν πρὸ καιροῦ τῆς φορᾶς τῶν πνευμάτων
Τὰς ἀντιλόξους τῶν ὀπῶν διεξόδους,
Ἄλλας δὲ ποιεῖν ἀντισυνθέτους, ὅπου,
Τὸ χῶμα τῆς γῆς τὰς πνοὰς ἀποκρύβοι.
Ποῖος δὲ Νηρεὺς τοῖς ἐχίνοις ἐν σάλοις
Προβλεπτικὰς δίδωσιν ἐν βυθῷ κόρας.
Ὅπως φυγόντες πρὸ ζάλης, τὰ τῆς ζάλης,
Εἰς τὴν γαλήνην προσρυῶσι τῶν λίθων;
Τίς τὴν μέλιτταν τὴν σοφὴν, τὴν ἐργάτιν,
Γεωμετρεῖν ἔπεισε, καὶ τριωρόφους
Οἴκους ἐγείρειν ἑξαγώνων κτισμάτων·

SISMANOGLIO MEGARO



Ποιεῖν δὲ τὰς σύριγγας οὐκ ἐπ' ὀρθίας
Γραμμῆς διευθύνουσαν, ἀλλ' ἐγκαρσίαν,
Μήπως ὀλισθήσωσιν οἱ κάτω πόδες
Ἐκ τῶν ἄνωθεν φορτικῶν βαρημάτων·
Εἶναι δὲ μᾶλλον τὰς παραλλήλους θέσεις,
Τῶν ἀντιλόξων κτισμάτων ἐρείσματα·
Ὡς καὶ τὸν οἶκον ἑστάναι βεβηκότα,
Καὶ μηδὲν ὑγρὸν ἐκπεσεῖν τῆς ἰκμάδος.
Γεωμετρῶν ἐντεῦθεν Εὐκλείδη σκόπει,
Καὶ σχῆμα μηδὲν γραμμικὸν περιξέσῃς,
Μήπου σε κέντρον τῆς σοφῆς διδασκάλου
Πλήξῃ μελίττης, καὶ μαθεῖν ἀναγκάσῃ.
Τίς τοὺς ἀράχνας λεπτοδακτύλους πλάσας,
Νήθειν διδάσκει, καὶ πρὸς ἔργα τοὺς μίτους
Ἐκ τῶν παρ' αὐτοῖς ἐντέρων ἀναπτύειν;
Ποία δὲ τέχνη γραμμικὴ πρὸς τὰς βάσεις
Βάλλουσιν ἀρχὰς, καὶ προτείνουσι θέσεις,
Μέσῳ δὲ κέντρῳ τὰς ἐπάρσεις τῶν μίτων
Κύκλους ἀπαρτίζουσα ἠκριβωμένους·
Καὶ τῇ μεταξὺ τοῦ κενοῦ διαστάσει,
Στύλους ὑφαρμόζουσιν ἀντισυνθέτους·
Ὅπως τὸ μηχάνημα τῆς λεπτουργίας
Ὡς ἐξ ἀράχνου συντεθὲν μὴ συμπέσῃ,
Ὃς διττὸν ἔργον ἐξ ἑνὸς ποιεῖ μίτου,
Λίνα πρὸς ἄγραν, καὶ πρὸς οἴκησιν στέγην·
Ὃν ἐντρεπέσθω πᾶς τις ἀφρόνως λέγων
Ὕλην ἄναρχον· εἰ γὰρ ὕλην οὐκ ἔχων
Σκώληξ ὑφαίνει, τὴν μὲν ὕλην δευτέραν,
Πρωτοχρόνους δὲ τοὺς ἀράχνας λεκτέον,
Ὡς τῶν ἐνύλων ἀρχιτέκτονας μίτων.
Κύκνον δὲ ποῖος ἐξεπαίδευσε τρόπος
Εἰς αὖραν ἐλθεῖν μουσικῆς εὐρυθμίας;
Ὃς τὴν πτερωτὴν ἐξαπλώσας πυκτίδα,
Τερπνὴν ξυνεργεῖ ταῖς πνοαῖς μελῳδίαν·
Καὶ τοῦτον οἶδα θαυμάσαι πολλῷ πλέον
Ἤ γ' Ὀρφέα κρούοντα μυθώδη λύραν.
Ποίου δὲ κώνωψ εὐπορήσας ὀργάνου,
Φωνὴν ἔχει σάλπιγγος; ἢ ποίῳ λόγῳ
Ἐν σμικρότητι συντεθεὶς ἀμηχάνῳ,
Μόρφωσιν ἴσχει, καὶ πτερούμενος φέρει,
Στόμα, τράχηλον, ὄμμα, κοιλίαν, πόδας,
Καὶ τὰς ἀδήλους τῶν ἔσω διαπλάσεις,
Ἃς οὐκ ἀφῆκε ψηλαφᾶν ἡ λεπτότης;
Οὐ γὰρ τοσοῦτον τῶν μεγίστων ἡ φύσις,
Ὅσον τὰ μικρὰ ταῦτα τῶν ἀμηχάνων,
Τὴν πανσθενῆ δείκνυσι μηχανουργίαν.
Πρόελθε μύρμηξ σιτοκλέπτης, ἐργάτης,
Τὸν κόκκον ἡμίτμητον ἐγκλείων κάτω,
Μήπως νοτισθῇ καὶ σαπῇ ταῖς ἰκμάσι,
Καὶ φθαρτικὴν κάτωθεν ἀνθήσῃ χλόην·
Ὅταν δὲ πυκναὶ τῶν νεφῶν αἱ συγχύσεις
Τοῖς ἐργομόχθοις ἀντιπνεύσωσι πόνοις·
Πόθεν σε μάντιν τοῦ Ζαμόλξιδος πλέον
Ἕκαστος οἶδεν εὐσυνόπτως ἀγρότης;
Ὅτε προδεικνὺς αἰθρίαν πεπηγμένην,
Τὸν σῖτον ἁπλοῖ, ἐξ ἐνύγρου πυθμένος,
Εἰς ἄξυλον πῦρ, εἰς τὸν ἥλιον φέρων,
Ὅπως πυρωθεὶς ταῖς βολαῖς ταῖς ἐμφλόγοις,
Ὡς ἄρτος ὀπτὸς εὑρεθῇ πεφρυγμένος·
Οὐ γὰρ τοσαύτης ἦν ὁ μύρμηξ φροντίδος,
Ὡς ῥυθμὸν εὑρεῖν γνωστικῆς προβλεψίας,
Εἰ μή τις ἦν πρόνοια μὴ φρονεῖν μέγα
Τοὺς τῶν ἐν ἄστροις αἰτιῶν ζυγοστάτας,
Ἀλλ' ὥστε καὶ μύρμηκα θαυμάζειν, ὅπως

Χειμῶνα δηλοῖ καὶ προμηνύει θέρος.
Τίς ποικίλην δίδωσι τοῖς ᾠοῖς φύσιν,
Μικροῖς δὲ τὰ στοιχεῖα δεικνύει τύποις,
Τὸ λεπτὸν αὐτοῖς ἐμβαλὼν ὡς ἀέρα,
Τὸ ξανθὸν ὡς πῦρ, καὶ τὸ λευκὸν ὡς ὕδωρ,
Τὸ σκληρὸν ὡς γῆν ἀπογαιοῖ γὰρ ἡ φύσις
Ἔξωθεν αὐτὸ, γῆς μεσοκλήρου δίκην,
Ὡς μήτε τοὺς ἔξωθεν ἐκλῦσαι τόνους,
Μηδ᾽ αὖ γε τοὺς ἔσωθεν ἀμβλῦναι πόρους.
Ἔσω γὰρ αὐτοῖς ἀντὶ μήτρας καὶ σπόρου,
Στιγμή τις ἐμπέφυκεν ᾑματωμένη,
Δι᾽ ἧς ἐκεῖσε σωματοῖ τὰ ποικίλα,
Εἰς σάρκας, εἰς ὄστωσιν, εἰς πτερῶν χύσιν.
Ὢ πῶς ἰδών τις τὸν ταὼν μὴ θαυμάσει
Τὸν χρυσὸν ὡς σάπφειρον ἐμπεπλεγμένον,
Καὶ τὴν πτερωτὴν ἐν σμαράγδῳ πορφύραν,
Τὰς πολυμόρφους συνθέσεις τῶν χρωμάτων,
Ὅλας ἀσυγχύτους τε καὶ μεμιγμένας;
Τίς ἐκστρατεύει παγκενῆ τὴν ἀκρίδα;
Ἔθνος πτερωτὸν εἰς φθορὰν Αἰγυπτίων,
Βέλος νεφῶδες ἐξ ἀδήλου τοξότου,
Λόγχην ἑτοίμην, αὐτοκίνητον δόρυ,
Πυκνὴν φάλαγγα, μυριόστομον ξίφος,
Πηδητικὴν ἔπαλξιν ἀστάτου μάχης·
Οὐχ ἵσταται γὰρ, ἀλλὰ πλήττει, καὶ τρέχει,
Ἕρπουσα πορθεῖ, καὶ κλονεῖ πτερουμένη,
Δοκεῖ δὲ φεύγειν καὶ παλίνδρομος μένει,
Φθείρει πρὸ καιροῦ, καὶ θερίζει πρὸ χρόνου,
Τήκει τὰ δένδρα, καὶ μαραίνει τὴν πόαν,
Ὡς μὴν ἀμέλγει τῶν ὀπῶν τὴν ἰκμάδα,
Τρυγᾷ τὰ φύλλα, τὴν τρύγην δὲ βόσκεται·
Καὶ συλλέγει τὰ κῶλα, καὶ τείνει πάλιν,
Ὥσπερ τὰ νεῦρα τῶν βελῶν οἱ τοξόται·
Καὶ τραυματοῖ τὸ στόμα τῶν ἐναντίων,
Τοῖς ἀντιλόξοις τῶν σκελῶν ἀκοντίοις.
Καὶ μή τις ἡμᾶς κομποερήμων φαυλίσοι,
Ὡς πρὸς τὰ μικρὰ, καὶ σχεδὸν τετμημένα,
Κινοῦντας εἰκῇ τοῦ λόγου τὸν ἄξονα.
Εἰ γάρ τις οἶκον ὡραϊσμένον βλέπων
Μορφαῖς ἀπαστράπτοντα κεχρυσωμέναις,
Ἡρμοσμένον δὲ καὶ σιδήρῳ καὶ ξύλοις,
Καὶ τῇ πενιχρᾷ συμπλοκῇ τῶν ὀστράκων,
Σὺν τοῖς μεγίστοις καὶ τὰ μικρὰ θαυμάσει,
Στέργων ἅπαντα, καὶ κροτῶν τὸν ἐργάτην
Πῶς οὐχὶ μᾶλλον τοῦ πανεργάτου λόγου,
Μύρμηκα καὶ κώνωπα καὶ τὴν ἀκρίδα,
Τὰ πάντα θαυμάσειεν ἔργα σὺν φόβῳ;
Πῶς ἡ χαμερπὴς καὶ τοσαύτη σμικρότης
Τυχεῖν τοσαύτης ἠξιώθη φροντίδος,
Ὡς καὶ φρόνησιν ἐντεθῆναι καὶ κράτος,
Ἰσχνῇ, ταπεινῇ καὶ στενῇ διαπλάσει;
Καὶ πῶς τὸ φρικτὸν οὐχ ὑπεστάλη κράτος
Ἔργοις τοσαύτοις προσβαλεῖν λεπτουργίαν;
Πόθεν ταὼς πρόεισιν ὡραῖος πάλιν,
Ὄρνις διαυγὴς καὶ κατάστερος φύσει.
Τὴν πορφύραν πτερωτὸς ἠμφιεσμένος·
Ἐξ ἧς ἀλαζὼν καὶ τυφώδης τὴν θέαν,
Μόνος διάττει τῶν ἁπάντων ὀρνίθων·
Ἥγ᾽ ἐξ ἀμόχθων συμπλακεῖσα πλασμάτων,
Πολλὴν χύσιν ἔμιξεν αὐτῷ χρωμάτων.
Ποῖος δὲ καὶ σκώληκα Σηρικῶν νόμος.
Πείθει τὰ λαμπρόκλωστα νήματα πλέκειν,
Ἃ τῇ βαφῇ χρωσθέντα τῆς ἁλουργίδος,



Χαυνοῖ τὸν ὄγκον τῶν κρατούντων ἐμφρόνως;
Μνήμη γὰρ αὐτοὺς εὐλαβῶς ὑποτρέχει,
Ὅτι πρὸ αὐτῶν τῆς στολῆς ἡ λαμπρότης,
Σκώληκος ἦν ἔνδυμα, καὶ φθαρτὴ σκέπη.
Ὃς τῇ καθ᾽ ἡμᾶς μαρτυρῶν ἀναστάσει,
Θνήσκει μὲν ἔνδον τῶν ἑαυτοῦ μνημάτων,
Τὸν αὐτὸν οἶκον καὶ ταφὴν δεδεγμένος·
Σχεδὸν δὲ παντὸς τοῦ κατ᾽ αὐτὸν σαρκίου
Σαπέντος ἢ ῥυέντος ἢ τετηγμένου,
Χρόνου καλοῦντος ἐκ φθορᾶς ὑποστρέφει,
Καὶ τὴν πάλαι μόρφωσιν ἀρρήτως φύει,
Ἐν τῷ περιττεύσαντι μικρῷ λειψάνῳ,
Πρὸς τὴν ἀπ᾽ ἀρχῆς σωματούμενος πλάσιν·
Κατηγορεῖ δὲ πυκνὰ τῶν πλανωμένων,
Καὶ ζῶν ἐλέγχει τὴν πικρὰν ἀπιστίαν,
Εἰ μηδὲ τοῖς σκώληξιν ὡς διδασκάλοις,
Πεισθεῖσα λοιπὸν τὴν ἀνάστασιν σέβει.
Ποίου γὰρ ἂν τύχωσι συγγνώμης λόγου
Οἱ τοῖς ἑαυτῶν ψηλαφῶντες δακτύλοις
Σκώληκα νεκρὸν ἐκ ταφῆς ὁδοιπόρον,
Βλέποντες ἢ μύοντες εἰς ἀβλεψίαν,
Τὴν πίστιν ἀντέστρεψαν εἰς ἀπιστίαν;
Πόθεν χελιδὼν ἐξ ἀομμάτου θέας,
Τριήμερος πρόεισιν ὀμματουμένη,
Πόαν περιτρίψασα ταῖς κόραις μίαν;
Ἣν οὐκ ἀκόμψως καὶ χελιδόνιον λέγειν,
Κριταὶ παλαιῶν δογμάτων ἐθέσπισαν,
Τὴν ἀξίαν λαβοῦσαν ἐκ τῶν πραγμάτων·
Καὶ τῷ θέρει μὲν ὡς λύρα ῥυθμίζεται·
Ὅταν δὲ χειμὼν εἰσβάλῃ, συστέλλεται,
Καὶ δένδρον εὑρεῖν οἰκίαν τεχνάζεται,
Καὶ σπαργανοῦται συντεθεῖσα τῷ ξύλῳ,
Καὶ τὴν πτερωτὴν ἐκδιδύσκεται σκέπην,
Αὖθις δὲ ταύτην ἀμφιέννυται νέαν,
Ὡς οἷα νεκρὸς ἐκ ταφῆς ἀνηγμένη·
Ἔαρ γὰρ αὐτῇ τὴν ἀνάστασιν φέρει·
Καὶ πολλὰ κράζει, καὶ λαλεῖ καθ᾽ ἡμέραν·
Εἴπερ τίς ἐστι καὶ παρ᾽ ὀρνέοις λόγος·
Ἄνθρωπε τιμῶν τὴν ἀνάστασιν μάθε,
Λάλον θεωρῶν ἐκ ταφῆς χελιδόνα.
Τίς τὸν σπαρέντα σῖτον ἐκ τῶν ἐσχάτων
Τῆς γῆς ἀνιστᾷ, καὶ τὸν ὥσπερ ἐν τάφῳ
Φθαρέντα κόκκον μυριόσταχυν φέρει;
Οὐ τοῖς σοφισταῖς ὡς δοκεῖ τῶν πλασμάτων,
Ὕπαρξιν ἄλλου τὴν φθορὰν ἄλλου λέγειν·
Οὐδ᾽ ὡς λέγουσιν ἐκ μὲν ἵππου σήψεως,
Σφηκῶν κύησιν, ἐξ ὄνου δὲ κανθάρων,
Βοὸς δὲ τὴν μέλισσαν τὴν φιλεργάτιν·
Ἡ τοῦ γένους γὰρ ταυτότης οὐκ ἠλλάγη·
Ἀλλ᾽ αὐτὸς οὗτος τοῦ φθαρέντος ὁ σπόρος,
Πρὸς ἥνπερ εἶχεν οὐσίαν ἀναστρέφει.
Τίς τῶν παρ᾽ ἡμῖν τεκνοποιῶν σπερμάτων
Τὴν σῆψιν ἐς σύμπηξιν ὀστώδη πλέκει;
Εἰ μὴ σαπῇ γὰρ καὶ παρ᾽ ἡμῖν ὁ σπόρος,
Ὡς σῶμα νεκρὸν ἐνταφεὶς τῇ κοιλίᾳ,
Οὐ σωματοῦται τῇ κυήσει τὸ βρέφος,
Εἰς δέρμα καὶ νεύρωσιν ἐργαζόμενον.
Τίς οὖν τὸ τοῦ κτίσαντος οὐ φρίττει κράτος.
Εἰ καὶ τὸ πρῶτον καὶ πάλιν τὸ δεύτερον
Δείκνυσιν ἡμᾶς ἐκ φθορᾶς ζωουμένους;
Ἀλλ᾽ ἔστιν ἡμᾶς εὐσυνέπτους εἰκόνας,
Τῇ φωταγωγῷ τῶν νεκρῶν ἀναστάσει,
Καὶ μέχρι δεῖξαι τῶν παρ᾽ ἡμῖν τραυμάτων
Στῆσαί τε τοὺς μώλωπας ἀντὶ μαρτύρων,

SISMANOGLIO MEGARO

Ἠχητικῆς σάλπιγγος εὐστομωτέρους·
Ὅταν γὰρ ἰχὼρ σηπτικὸς παρεμπέσῃ,
Σύριγγα τίκτων ἐκ νομῆς πυριτρόφου,
Οὐκ ἄν τις εὕροι τοῦ σεσηπότος μέλους
Τὴν ὥσπερ εἰπεῖν ἐκ μέρους ἀνάστασιν,
Εἰ μὴ ῥυῇ τὰ πρῶτα καὶ λύσιν πάθῃ,
Ἢ παντελῆ σύντηξιν ἐκ φθορᾶς λάβῃ.
Τῆς ἔνδον αὐτοῦ σαρκὸς ἠφανισμένης·
Οὕτω γὰρ αὖθις γίνεται σεσωσμένος,
Πυρὶ στομωθεὶς ἢ διαιρεθεὶς ξίφει,
Ἢ καὶ μελικράτῳ τε, καί τινι δρόσῳ.
Πρὸς τὴν ἰατρεύουσαν ἀῤῥήτως κρίσιν,
Στύφουσαν ἢ ψύχουσαν ἢ καθαρσίαν,
Εὑρὼν ἐκείνου τοῦ μέλους ἀνάστασιν;
Πῶς οὖν μελίκρατόν τε καὶ πῦρ καὶ ξίφος,
Καὶ μὴν ὀπὸς καὶ ῥίζα, καὶ χοῦς καὶ δρόσος,
Εἴργει τὸ ῥεῦμα, καὶ τὸ δέρμα συλλέγει,
Ἢ τὴν παλαιὰν σάρκα προσκαλούμενα,
Ἢ σῶμα προσπλάσαντα τῷ πάλαι νέον;
Ὁ δὲ πλάσας τὸ σῶμα μὴ συναρμόσει
Ῥυὼν τὸ σῶμα, κἂν σαπῇ κεχωσμένον,
Ἢ τὴν παλαιὰν δερματώσας οὐσίαν,
Ἢ τῷ φθαρέντι καὶ σαπέντι σαρκίῳ,
Χιτῶνα λεπτὸν ἐμβαλὼν ἀφθαρσίας;
Ποίας δὲ καὶ τύχωμεν εὐελπιστίας,
Εἰ τοὺς ἰατροὺς τοῦ γεώδους σαρκίου
Ἄγειν ἐῶμεν καὶ φέρειν τὰ σώματα,
Ὡς ἂν δοκῶσι, κἂν δοκῶσι χειρόνως,
Μηδὲν δὲ δῶμεν τῷ Γαληνῷ τῶν ὅλων,
Ψυχῶν ἰατρῷ, πρὸς φιλάνθρωπον τέλος
Τῷ σῶμα νεκρώσαντα τῆς ἁμαρτίας,
Ὑπνωτικὸν δὲ φάρμακον δεδωκότι,
Ὅπως τὸ ῥευστὸν τῆς φθορᾶς ἀποξέσας
Ἄῤῥευστον ἡμῶν ἐξεγείρῃ τὴν φύσιν;
Ἢ πῶς ὁ τοῦ Μάνεντος ἐμμανὴς λόγος
Λυττᾷ καθ' ἡμῶν, καὶ λαλεῖ πεφυρμένα,
Ὡς εἴγε ταὐτὸν ἐξεγείρεται πάλιν
Τὸ σῶμα τοῦτο, καὶ φθαρήσεται πάλιν,
Χολὴν ἔχον καὶ φλέγμα; καὶ λύσιν μάχης·
Καίπερ θεωρῶν τῶν ἑαυτοῦ τραυμάτων
Τὴν σηπτικὴν σύριγγα τοὺς χυμοὺς ὅλους
Ὡς πρὸς μάχην θήγουσαν ἀνθωπλισμένην,
Χολῆς μελαίνης καὶ χολῆς ξανθοπλόκου,
Καὶ φλέγματος πρὸς αἷμα συμπεπλεγμέ-
Καὶ συῤῥυέντων καὶ πεφυρμένων ὅλων (νου·
Μάχην θεωρῶν, μὴ θεωρῶν τὴν λύσιν.
Καὶ μηδὲ τοῖς μώλωψι πεισθῆναι θέλων,
Ὡς καὶ σαπέντων ἐκ φθορᾶς τῶν ὀργάνων,
Ἄσηπτον αὐτοῖς ἀντεγείρεται δέρας,
Καὶ συμβιβασμὸς γίνεται τῶν σχισμάτων
Ἐκ τῆς παρ' αὐτοῖς ὡς νομίζεται μάχης;
Ἢ πῶς φυλαχθῇ λογικῶς εἰρημένον,
Σύμπνοια καὶ σύῤῥοια τῶν ὅλων μία.
Εἴπερ τὸ σύμπνουν σχίσμα γίνεται μάχης;
Ἢ πῶς τὸ ῥευστὸν εὑρεθῇ πεπηγμένον,
Εἰ μὴ παρούσης τῆς ἀναγκαίας μάχης.
Θάλψει τὸ φλέγμα τῆς χολῆς ἡ θερμότης
Ἢ συγκερασθῇ θερμότητι ψυχρότης,
Ἢ ξηρότης ὕγρον ἁρμόσει μάχην;
Οὐ κυρίως οὖν ἐστὶν ἡ μάχη μάχη,
Συνεκτικὴ δὲ μᾶλλον, ἢ τοὐναντίον
Χωριστικὴ πέφυκε τῶν ἡρμοσμένων·
Σφίγγουσα τὴν σύμπηξιν, ἄχρι τὴν δέσιν
Λύσει τὸ τοῦ σφίγξαντος ἄῤῥητον κράτος.



Ὡς γάρ τις οἶκον δημιουργῆσαι θέλων,
Καὶ σφῆνα πήξας σφαιροσυνθέτου στέγης,
Οἶδεν μόνος τὸ σφίγμα, καὶ λύει μόνος·
Οὕτως ὁ τὴν ἔνσαρκον οὐσίαν κτίσας,
Ὅταν δέῃ τὸν οἶκον ἐλθεῖν εἰς λύσιν,
Οὐ φλέγμα κινεῖ καὶ χολὴν πρὸς τὴν λύσιν,
Ὡς οὐδεὶς ὢν ὑλικοῦ παρεργάτου·
Ἀλλ' ἐκβαλὼν τὸν σφῆνα τὸν ψυχοκράτην,
Ὡς οἶδεν, ὡς ἔσφιγξε, καὶ λύει μόνος.
Ὅταν δὲ τὴν σύμπηξιν ἁρμόσαι θέλῃ·
Κτίσαι γὰρ αὖθις βούλεται τὴν οἰκίαν,
Πτῶσιν παθοῦσαν ἐξ ἀδήλων πνευμάτων·
Εἰ καὶ χολὴν καὶ φλέγμα καὶ πνεῦμα λάβοι,
Ἄσβεστον ὥσπερ συμβιβάζων ὀστράκῳ·
Χυλοὶ γάρ εἰσι καὶ μέρη τοῦ κτίσματος·
Τὸν σφῆνα πήξας, ὥστε λύσαι μηκέτι,
Ἄφθαρτον ἡμῶν ἐξεγείρει τὴν φύσιν.
Πλὴν ταῦτα πρὸς Μάνεντα τὸν μεμηνότα·
Ἡμεῖς γὰρ ἴσμεν ὡς ἐναλλαγὴν δέον
Τὸ θνητὸν ἡμῶν τοῦτο προσλαβεῖν δέρας.
Ὃ σπείρεται μὲν ἐν φθορᾷ τεθαμμένον,
Ἀνίσταται δὲ τῆς φθορᾶς ἀντιστρόφως.
Ἄφθαρτον, ὡς ἔδοξε τῷ παντεργάτῃ.
Οὕτως ὁ πλάστης κἄν τε χυλῶσαι θέλῃ
Τὸ σῶμα τοῦτο, κἄν τε λεπτύναι πλέον,
Ὅμως ἄσηπτον τῶν σαπέντων τὴν φύσιν,
Ὡς τραῦμα νεκρὸν, δερματοῖ καὶ συλλέγει·
Ἀρκεῖ γὰρ αὐτῷ πρὸς τὸ σαρκῶσαι λόγος.
Τὴν γῆν ἐρευνῶν, καὶ τὰ κύματα βλέπων,
Καὶ συλλέγων τὰ κῶλα τῶν κοιμωμένων,
Καὶ κἄν τις ὠμόσαρκον ἀνθρώπου κρέας
Ἰχθὺς σπαράξει, καὶ τὸν ἰχθὺν ἀγρότης,
Καὶ τοῦτον ἄρκτος. καὶ τὸ θηρίον κύνες,
Γύπες δὲ τούτους, τοὺς δὲ γύπας οἱ τάφοι,
Καὶ πᾶσαν ἁπλῶς ἀνθυποδράμοι φύσιν,
Εἰς ἀλλοφύλους ἀντικλώμενος ῥύσεις,
Ὅμως ἔσω πέφυκε τῶν ὁρισμάτων,
Τῇ χειρὶ τοῦ κτίσαντος ἐσφραγισμένος.
Οὐκοῦν ἐάν τις χειρὸς εὐτελεστάτης
Τοὺς πενταχόρδους ἐξαπλώσας δακτύλους,
Κριθὰς, ὀλύρας, κέγχρον ἢ σῖτον λάβοι,
Ἢ πλῆθος ἁπλῶς ὀσπρίων πεφυρμένων,
Οἶδε διαιρεῖν καὶ μερίζειν εὐθέτως
Ἐκεῖνο, τοῦτο, καὶ συνάπτει τὰς φύσεις,
Καὶ ῥᾷστα συντίθησι πρὸς γένος γένος·
Πῶς καὶ λιθώδης οὐ συνήσει καρδία,
Ἐν χειρὶ τοῦ κτίσαντος οὖσαν τὴν κτίσιν,
Ἐν τῇ καθ' ἡμᾶς συνδραμεῖν ἀναστάσει,
Καὶ συγκομίζειν ὥσπερ ἄλλοι τοὺς φόρους,
Ἐκεῖθεν ἔνθεν τὰς φορὰς τῶν λειψάνων,
Ἀρτηρίας καὶ νεῦρα, σάρκας καὶ φλέβας,
Καὶ παντὸς ἄρθρου συλλογὴν κεχρυμμένου,
Συνησάγειν δὲ τὰς ἑκάστου λοιπάδας·
Εἰσὶ γὰρ ἄχρι καὶ τριχὸς γεγραμμέναι·
Φέρειν τε πᾶσαν τὴν ἀπόγραφον φύσιν
Τῇ πρὸς τὸν αὐτῆς δεσπότην περιστάσει,
Ὅπως ὑφέξει τοῖς ἐπείκταις ἀγγέλοις
Τοὺς συλλογισμοὺς τῶν χρεῶν, καὶ τῶν τόκων,
Καὶ τὰς ἀπαρχὰς τῆς γεώδους καρδίας,
Σπόρου τε καρπὸν καὶ σπορᾶς ἀκαρπίαν,
Ζυγοῦ τε λῆμμα καὶ ῥοπῆς εὐσταθμίαν,
Καὶ πᾶσαν ἁπλῶς ψυχικὴν λειτουργίαν.
Οὕτως ἑαυτὸν ταῖς ἐνεργείαις ἔθου
Γνωστὸν παρ' ἡμῖν καίπερ ὢν κεκρυμμένος·

SISMANOGLIO MEGARO

Ὅσον γὰρ ἡμᾶς τῶν ὑπερτέρων νόων
Ὑπερβέβηκεν ἡ θεόπνους ἀκρότης,
Τοσοῦτον αὐτὰς αἱ μέσαι, καὶ τὰς μέσας
Τρίτη τὶς ἄλλη τάξις ἀρχικωτέρα.
Ἣ μᾶλλον ἐμπέφυκε τῇ πανομμάτῳ,
Καὶ τῇ πτερωτῇ τοῦ τάχους ἐπεκτάσει,
Ἡ πρὸς τὸ θεῖον ἀγχιγείτων ἀκρότης·
Ὅσον γὰρ ἐγγίζουσι, τὰς ἀποστάσεις
Ποιοῦσι μείζους, καὶ ξενοτρόπῳ λόγῳ
Τὰς προσθέσεις ἔχουσιν ὡς ἀφαιρέσεις.
Εἰ γὰρ τὸ τῆς γῆς τοῦτο πῦρ ὁ προσβλέπων,
Πόῤῥω μὲν ἑστὼς θέλγεται πρὸς τὴν θέαν,
Ἀφίσταται δὲ τῇ φλογὶ προσεγγίσας·
Πῶς πρὸς τὸ πῦρ ἐκεῖνο τῆς ἀφλεξίας,
Ὁ μᾶλλον ἐγγὺς, κἂν πέφυκεν ἄγγελος,
Μὴ μᾶλλον ἐκστῇ καὶ ὀλισθῇ τῷ φόβῳ,
Ἐν πυρσοφεγγεῖ καὶ θεοκρυφεῖ γνόφῳ,
Ἀφεγγὲς εὑρὼν καὶ τὸ πῦρ καὶ τὴν φλόγα;
Ἐντεῦθεν ὡς ἔοικεν ἐγγίζει πλέον
Ἡ τῶν Χερουβὶμ ὀμματόπλωτος φύσις,
Βλέπουσα, καὶ μύουσα τὸ βλέπειν πλέον·
Φρικτὸν γὰρ ἐντέθεικε τῇ κτίσει φόβον
Ὁ πρῶτος εἰς γῆν ἐκπεσὼν ἑωσφόρος,
Βλέπων ἀμέτρως, καὶ παθὼν τὸ μὴ βλέπειν·
Ὡς μηδὲν εἶναι παντελῶς ἀνειμένον,
Ἢ τῆς παναρκοῦς καὶ σοφῆς ἐποψίας
Τοῦ δημιουργήσαντος ἐξῃρημένον,
Εἶναι δὲ πάντα πρὸς τὸ χρήσιμον τέλος,
Καὶ μέχρι χόρτου, καὶ φυτῶν καὶ θηρίων,
Καὶ τῶν ἀφώνων τῆς θαλάσσης ἰχθύων,
Καὶ τῶν ἀπ' αὐτῆς ἐκφυέντων ὀρνέων·
Φθάσαι δὲ μέχρι τῶν ἀποκρότων λίθων,
Τὴν συντομουργὸν τοῦ Θεοῦ λειτουργίαν.
Εἴπερ νόσος μὲν ἐξελαύνεται λίθῳ,
Ἄλλος δὲ τὸν σίδηρον ἀνθέλκει λίθος,
Ἄλλοι δὲ πυρσοὺς ἀνταναπτοῦσι λίθοι,
Οὐκ οἶδα πῶς ἔσωθεν ἐξωθουμένους.
Καὶ τοὺς κεραυνοὺς ἄλλος ἀμβλύνει λίθος,
Καὶ πῦρ νόθον σβεννύουσιν ἐξῃρτημένος.
Οὐχ ὡς λίθος δρῶν, ἀλλ' ὅπως μάθῃς, ὅτι
Θεοῦ θέλοντος ὠφελοῦσι καὶ λίθοι·
Καὶ τὴν δι' αὐτοὺς ἐντροπὴν δεδοικότες,
Πεισθῶμεν ἡμεῖς ὠφελεῖν κἂν ὡς λίθοι.
Εἴργει δὲ βῶλος αἱματόπτυστον χύσιν,
Πηλὸς δὲ σωτὴρ γίνεται δυσεντέροις·
Ἄνθος δὲ χόρτου, πάσμα γίνεται πάθους·
Ὀπὸς δὲ ῥίζης φάρμακον καθαρσίου·
Σταγὼν δὲ κέδρου κνησμονὴν ἀποξέει.
Ἐπωφελὴς δὲ πικρότης ἀψινθίας,
Ὑπεργλυκάζον εἰς περίστασιν μέλι.
Καὶ τῶν βάτων δὲ τῶν ἀκάρπων οἱ κλάδοι,
Ἀποικίλους φύουσι τοὺς Ἱπποκράτους·
Καὶ τοὺς ἀκάρπους μὴ φοβουμένῃ νόμους.
Ἐκ τῶν ἀκάνθων γίνεται σωτηρία·
Καὶ τέφρα καὶ χοῦς ὠφελοῦσι καὶ τρίχες·
Τοῖς γὰρ παθοῦσιν ἐκ κρύους ἀβλεψίαν,
Καπνὸς γαληνὸς γίνεται παρ' ἐλπίδα·
Νάρκη δὲ ναρκοῖ τὰς ἁφὰς τῶν ὀργάνων·
Ἔστι γὰρ ἐν δέοντι καὶ νάρκης χάρις.
Στέαρ δὲ φώκης φλεγμονὰς οἰδημάτων
Σβεννύουσιν, ὥσπερ τὰς καμίνους ἡ δρόσος.
Καὶ συμφλεγέντων ἱπποκάμπων αἰθάλη,
Σφίγγει τρεμούσας ἐκρυῆναι τὰς τρίχας.
Τρυγὼν δὲ παύει τῶν ὀδόντων τοὺς κλόνους,



Ὡς ἐν ταλάντῳ τεχνικὸς ζυγοστάτης.
Τὸ κέντρον αὐτῆς ἐντιθεῖσα τοῖς πόνοις.
Καὶ βρῶσις ἁπλῆ τοῦ σκάρου τῶν ἐντέρων,
Εἴργει τὸ ῥεῦμα τῶν παρ' ἡμῖν ἐντέρων.
Παθεὶς δὲ χυλὸς κωβιῶν πετροστέγων
Ὄχημα γαστρὸς γίνεται πεφραγμένης.
Φθίσιν δὲ καὶ χίμετλα, καὶ τῶν σκορπίων
Θραύει τὰ κέντρα, καὶ καταψύχει πόνους
Τοὺς λυσσοδήκτους, τοὺς δὲ καρκίνους ξέει
Καρκῖνος ἐλθὼν ἐκ βυθοῦ θαλαττίου·
Σοφίζεται δὲ καὶ πρὸς ἄγραν ὀστρέων·
Ψάμμον γὰρ αὐτοῖς ἐμβαλὼν χασμωμένοις
Εἴργει συνελθεῖν τὰς λαβὰς τῶν διπτύχων·
Ἀνειμένων δὲ τῶν θυρῶν ὁ τοῦ σάλου
Κλέπτης ἀνασπᾷ τὴν τροφὴν κεκρυμμένην.
Ἰχθὺς δὲ πνεύμων τοῖς σάλοις ἐπιπλέων,
Ὢ, μηδὲν ἐστιν ἐμφερὲς πρὸς ἰχθύας.
Ἄμορφος εἰκὼν, δυσδιάγνωστος θέα,
Ἄψυχος οὐκ ἔμψυχος, ἀλλ' εἰκῇ μόνον
Δοκῶν ἑαυτὸν ἐξαπλοῦν καὶ συλλέγειν,
Τὰς δυσκαθέκτους τῶν ποδῶν ὑπεκζέσεις,
Ὡς οὐδὲν ἄλλο, συντριβεὶς ἀποτρέπει.
Καὶ νεῦρα μὲν σπασθέντα συστολῆς βίᾳ,
Λέοντος, ὡς λέγουσιν, εὐρύνει στέαρ.
Πάθους δὲ λύτρον αἷμα γίνεται τράγου.
Καὶ τοὺς κεράστας εὐλαβεῖται κανθάρους
Τὸ φλεκτικὸν πῦρ τοῦ τεταρταίου τρόμου.
Καὶ τῇ χνοώδει τῶν μυώπων αἰθάλῃ,
Τὸ τῶν μυώπων ἐξορίζεται πάθος·
Οὐ φείδεται γὰρ συλλαβῆς ὁμωνύμου,
Εἰς ζῆλον ἔργου συγκροτουμένη φύσις.
Εἰσὶ δὲ καὶ γῆς καὶ θαλάσσης κοχλίαι
Μικροὶ, μεγίστων συμφορῶν εὐεργέται·
Ὧν εἰ τεφρώσεις τὴν δορὰν τῶν ὀστράκων,
Ἀλφοὺς ἀναιρεῖς· εἰ δὲ συμπλέξας μέλι,
Τὴν ξηρὰν ὑγρῷ στοιχειώσεις αἰθάλην,
Οἴδημα γαστρὸς καὶ ποδῶν ἐπιῤῥύσεις,
Νεύρων τε πληγὰς καὶ ζοφώσεις ὀμμάτων,
Καὶ τὴν πρὸ ῥινῶν αἱματόῤῥοιαν σβέσεις·
Καὶ θαυμάσας τὸ θεῖον ὑμνήσεις κράτος,
Βαλὼν ἓν ἀντίφραγμα μυρίαις νόσοις.
Πόθεν δὲ καὶ πῶς ταῦτα γίνεται θέλων
Εἰπεῖν, ἀτερμάτιστον ἀντλήσεις βάθος.
Καὶ τῶν ἀναγκαίων γὰρ ὡς φασὶ πόρων,
Ὁ βλέννος εἴργει τὰς ἀκουσίας ῥύσεις.
Λύκου δὲ γλῶσσα προστεθεῖσα νηπίοις,
Λύει τὰ κλεῖθρα τῆς ἀφώνου γλωσσίδος,
Λίθους δὲ τυκτοὺς τῶν ποδῶν πρὸς τὰς γλυφὰς
Ὀπτᾷ λιθουργὸς εἰς περίστασιν πόνου.
Καὶ ψυχρὸς ἰὸς θερμὸν ἔσβεσεν πάθος·
Ὀπῷ δὲ θερμῷ ψυχρὸς ὤκλασεν πόνος.
Καὶ σὰρξ ἐχιδνῶν ἀντιφάρμακος δόσις,
Καὶ σφίγμα σαρκὸς γίνεται λωβουμένης
Τὸν ῥοῦν γὰρ ἱστᾷ, καὶ τὸν ἰχῶρα ξέει,
Καὶ σωματουργεῖ τὰς ῥεούσας εἰκόνας,
Μορφοῦσα τὰ πρόσωπα τῆς ἀμορφίας.
Καίτοι τινὲς λέγουσιν ὡς φρικτοῦ πάθους
Εἰς λοιμὸν εἰσφρήσαντος ἐντρόμῳ ζέσει,
Πνέοντος αὔραν τοῦ νοσοῦντος ἐσχάτην,
Ἤδη παρ' αὐτὰς τῆς ταφῆς τὰς εἰσόδους,
Τὸ κέντρον ὠθεὶς ἐξ ἀδήλου σκορπίου,
Ἴῳ τὸν ἰὸν ἀντιτάξας πρὸς μάχην,
Ἤμβλυνεν, ἠμαύρωσε συγκράσει ζέσιν,
Ψύξιν βαλὼν ἄπληστον ἀκράτῳ ζέσει.

Οὕτως ἕκαστα συμφερόντως ἡ χάρις,
Καὶ πρός τι ῥυθμίσασα τῶν ἀγωγίμων,
Οὐδὲν περιττὸν οὐδὲ λεῖπον εἰσάγει,
Καὶ μέχρι φλοιῶν καὶ τριχῶν καὶ δακρύων,
Καὶ μέχρι πηλοῦ καὶ καπνοῦ καὶ κοπρίας·
Εἰ καὶ τὰ μὲν λέληθεν ἠγνοημένα,
Τὰ δὲ πρόδηλον εὗρε τὴν εὐχρηστίαν·
Ὡς πρὸς τὶ φαῦλα μηδαμῶς λοιπὸν λέγειν,
Ἀστεῖα πάντα καὶ καλῶς εἰργασμένα.

Τίς γὰρ θεωρῶν βότρυν, οὐ κατεπλάγη
Τὸν δόντα θερμὴν ὑγρότητα τῷ ξύλῳ,
Καὶ πῶς τὰ φύλλα τὰς ἑτοίμους εἰς ῥύσιν
Ῥάγας περιπτύσσουσι, μὴ βροχῆς βέλος
Πλήξῃ τὸ χαῦνον, ἢ φλογώδης ἡλίου
Φρύξασα θέρμη τοὺς ὀποὺς ἐξικμάσῃ.

Τίς δέρμα ῥοιᾶς εὐδιαιρέτως σχίσας,
Καὶ τὴν θέσιν γνοὺς τῶν ἐνύγρων ἀνθράκων,
Καὶ πῶς ἑκάστῳ συντεθέντι χωρίῳ,
Φραγμὸς μεσάζει καὶ μερίζει τοὺς ὅρους·
Ὑμὴν φλογώδης λεπτὰ τείνων σπαρτία,
Μήπως βαρυνθῇ τῶν ὀπῶν ἡ χαυνότης,
Καὶ θλῖψιν ἕξει τῇ δέσει τοῦ σφίγματος,
Κἀντεῦθεν ἰκμὰς τῆς ὀπώρας ἐκπέσῃ,
Σήψῃ τε κόκκος ἄλλος ἄλλον ἐκρέων·
Οὐ τὴν ὑπὲρ νοῦν ἐννοήσας αἰτίαν
Πρὸ τοῦ φαγεῖν ὕμνησε τὸν παντεργάτην;
Ὁ νοῦς γὰρ εὐθὺς, ὡς ταχύδρομος φύσει,
Ἀφεὶς τὸ θαῦμα πρὸς τὸν αἴτιον τρέχει.

Τίς ἐμφυτεύσας τῷ βυθῷ πηκτὸν γάλα,
Τοὺς μαργαρίτας λευκοδέσμους ἐκτρέφει;

Πόθεν χλοάζει τῶν σμαράγδων ἡ φύσις
Εἰς πάντα καιρόν; οὐ γὰρ εἰς ἔαρ μόνον.

Τίς ἄνθος ἐντέθεικε σαπφείρῳ λίθῳ,
Εἰ μηδὲν ἄνθος ἐν λίθῳ φυτεύεται;

Πόθεν πυραυγὴς ἡ βαφὴ τῶν ἀνθράκων,
Εἰ ψυχρότητι πᾶσα πήγνυται λίθος;

Τίς ταῦτα ποιεῖ καὶ συνιστᾷ καὶ τρέπει,
Εἰ μὴ τὸ σὸν βούλημα καὶ τὸ σὸν κράτος,
Τοῦ πάντα δρῶντος ὡς δοκεῖ σοι καὶ θέλεις;
Τὸ σὸν γὰρ εἰς ἄπειρον ἐκτείνας κράτος,
Φαίνῃ καλύπτῃ, καὶ προέρχῃ καὶ μένεις,
Στάσει τρεχούσῃ καὶ φορᾷ πεπηγμένῃ,
Καὶ τὰς ἀμόρφους εἰδοποιῶν οὐσίας,
Αὐτὸς δὲ τοῦ σύμπαντος ἐξῃρημένος,
Ὑπερτελὴς εἶ· καὶ γὰρ ἀρχὴν οὐκ ἔχεις·
Τέλους ἀπέστης, καὶ διέστης τοῦ μέσου,
Ἐκτὸς βεβηκὼς τῶν τριῶν· καὶ τῶν ὅλων
Ἐντὸς πεφυκὼς, τῶν ὅλων ἐκτὸς μένεις·
Πρόδηλος ὢν, ἄδηλος· οὐκ ἔχων ὅρους,
Ἀλλ᾽ ὢν ὁρισμὸς τῶν ὁριζόντων ὅρων·
Ἄρχων ἀνάρχως, οὐ μετρούμενος χρόνῳ,
Ῥοπῇ δὲ ποιῶν ἀχρόνῳ τὰ τοῦ χρόνου.

Ὡς ἔντεχνος δὲ τῶν φρενῶν ἐπιστάτης,
Πᾶσάν τε πρᾶξιν τεχνολογεῖν ἠσκημένος,
Καὶ πᾶν ἰδὼν ὄνομα καὶ ῥῆμα ξένον,
Καὶ λεπτὸν ἄρθρον, μετοχὴν κεκρυμμένην,
Ἀντωνυμίαν δὲ πᾶσαν ἠκριβωμένος,
Προθέσει πάσῃ μέτρα δοὺς ἡρμοσμένα
Τὸν πάντα κόσμον εἰς ἐπίρρημα τρέπεις,
Εἰ μὴ τὸ σὸν σύνειδεν ἀρρήτως κράτος,
Συζευκτικὸν σύνδεσμον ἐμβαλεῖς ὅλοις·
Ἀεὶ δὲ δεικνὺς τεχνικὰς ἐπεκτάσεις,
Ἅπαντα γίνῃ πρὸς τὸ σοὶ δεδογμένον·
Μέλλων, ἐνεστὼς, ὑπερσυντελικός τε

SISMANOGLIO MEGARO



Καὶ ἀόριστος μετὰ παρακειμένου,
Παρατατικὸς, ἐγκλίσεις νέμων θ᾽ ἅμα
Ὁριστικευκτικὴν σὺν τῇ ἀπαρεμφάτῳ.
Ἐνθεὶς δὲ ταῦτα τῇ τέχνῃ τῇ ἀρρήτῳ
Προστακτικῷ δὲ πάντα μορφώσας λόγῳ,
Ὑποτακτικήν σοι δημιουργεῖς τὴν κτίσιν.

Πάμμορφος ὢν, ἄμορφος, οὐκ ἔχων στάσιν,
Οὐκ ἴχνος, οὐ κίνησιν, οὐ γνωστὴν βάσιν·
Πάντων γὰρ εἶ κίνησις, ἡ πάντων βάσις.
Ἁπλοῦς, μεθεκτὸς, πρῶτος, ἔσχατος, μέσος,
Ὑψηλὸς, εὐρὺς, ἀπλατὴς, βαθὺς, μέγας·
Οὐδὲν δὲ τούτων, ἀλλ᾽ ἐν ἀβάτοις ὅροις
Τῆς σῆς ἐπήξω μυστικῆς ἐξουσίας.

Ὁ πανταχοῦ μὲν, οὐδαμοῦ δὲ, καὶ πάλιν
Καὶ πάντα καὶ ἕν· ταῦτα γὰρ συναπτέον·
Μήπως ὑπαχθῇ τοῖς κατ᾽ αἴσθησιν τύποις,
Τὸ ἓν μονωθέν· τῇ δὲ (πάντα) συνθέσει
Δηλοῦντες αὐτοῦ ἀπερίληπτον φύσιν·
Αὖθις τέ γ᾽ ἐγκρίνωμεν ἠκριβωμένως,
Μήπως τὰ πάντα σχῇ κακὴν ὑποψίαν,
Καὶ δῶμεν εἱρμὸν τῇ ῥεούσῃ συνθέσει:
Τῷ πανταχοῦ δὲ τὸν θεὸν πεφυκέναι,
Τὸ μηδαμοῦ πρόστεξιν ἀντισυνθέσει,
Μήπως μερισθὲν τῇ διχῇ διαστάσει,
Τὸ μηδαμοῦ μὲν εἰς ἀνούσιον ῥέποι,
Τὸ πανταχοῦ δὲ τοῖς μεριστοῖς ἁρμόσοι·
Ἀλλ᾽ ἀντιγόμφοις, ὡς ἂν εἴποι τις, λόγοις,
Τὸ πάντα καὶ ἓν, καὶ τὸ μηδαμοῦ πάλιν
Τῇ πανταχοῦ σφίγγοντες ἀντιφθεγγίᾳ·
Στερρὸν τὸ σαθρὸν πήξομεν τῶν δογμάτων.

Εἰ καὶ βάθος γὰρ ἐκβαθύνει σοι λόγου,
Πρὸς ὕψος ἀρθεὶς ἐμφανίζειν οὐ θέλεις·
Εἰ καὶ πρὸς ἄκρον ὕψος ἀρθῶσι φρένες,
Πρὸς ἄκρον αὐτὰς ἀνθυποστρέφεις βάθος.
Ὡς μήτε μῆκος σῷ παρίπτασθαι βάθει,
Μήτε πλάτος σὸν ὕψος εἰς πέρας τρέχειν,
Ἀλλ᾽ εἰς ἄπειρα τῶν ἀπείρων ἡ χύσις
Χυθεῖσα, τῇ σῇ τέμνεται παρεκτάσει·
Ὡς εἰ λέγειν χρὴ καὶ τὰ μήπω πρὸς κλίσιν
Ἐλθόντα τῇ σῇ ζωπυροῦσθαι προσθέσει.
Ἐφίστασαι γὰρ, καὶ παρὼν ἀφίστασαι,
Μένων δὲ φεύγεις, καὶ σκιᾶς λεπτῆς δίκην,
Ἐν τῷ κρατεῖσθαι τὰς λαβὰς ὑπεκτρέχεις.

Οὕτως σε καὶ νῦν ἐξ ἀπληστίας πόθου
Μαθεῖν θελήσας, καὶ τρυγῆσαι τῷ λόγῳ
Τὸν ἀμπελῶνα τῶν σοφῶν σου κλισμάτων,
Οὐκ οἶδα ποῖον βότρυν ἁρπάσας λάβω·
Τῇ ποικίλῃ γὰρ καὶ σοφῇ θεωρίᾳ
Τὸν νοῦν μερίζω, καὶ στενοῦμαι, καὶ θέλων
Ἑλεῖν τὰ πρῶτα, κλέπτομαι τοῖς ἐσχάτοις,
Καὶ δυσκαθέκτοις ἀντινήχομαι σάλοις,
Ὡς οἱ πλέοντες ἐν βυθῷ θαλαττίῳ,
Ὅσον προκύπτει τῆς ἀβύσσου τὸ πλάτος,
Πάσχουσι μᾶλλον συστολὴν ἐν καρδίᾳ.

Εἰ καὶ κράτος γὰρ ἀστραπῆς διαδράμω,
Καὶ πτηνὸς ἀρθῶ, καὶ περάσω τὰς φύσεις·
Καὶ μᾶλλον ἀρθῶ, καὶ τὸν αἰθέρα σχίσας,
Τὰς κλεῖς ἀνοίξω, Πέτρος ὢν πεπλασμένος
Καὶ τῇ τοσαύτῃ μὴ στενωθεὶς ἐκτάσει,
Ὑπερβεβηκὼς οὐρανοὺς ὕδωρ φθάσω,
Ἴσως ἄβυσσον ἐξ ἀβύσσου, καὶ πέρας
Ἀρχῇ συνάπτων, καὶ πέρας μηδὲν βλέπων.

Τότε προκύψας εἰς τὸν ἄκρον πυθμένα,
Καὶ συνθολωθεὶς πρὸς τὸ χάσμα τοῦ βάθους,

Γ'λίγγα πάσχω · καὶ κλονοῦμαι, καὶ πάλιν
Εἰς γῆν ὁ πηλὸς συστραφεὶς ὑποτρέχω·
Οὐδὲν γάρ εἰμι πλὴν γεώδης αἰθάλη,
Καὶ πηλὸς ἀργὸς, καὶ κατάῤῥοπος κόνις.
Πλὴν ποῖ πτεροῦμαι; ποῖον αἰθέρα σχίσω;
Η῎ ποῖ πορευθεὶς, καὶ τὸν οὐρανὸν τρέχων,
Εἰς πέμπτον ἀρθῶ τοῦ Σταγειρίτου πόλον;
Η῎ ποῖον αὖθις ἄλλον, ἢ ποίαν πύλην
Ε'κεῖνον ἐκκλείοντα, καὶ ποίαν πάλιν
Ζητῶν προκόψω, ψηλαφῶν ὑποστρέφω·
Τὸ τῆς κάτω γῆς εἴπερ ἀθρήσω βάθος,
Καὶ μύριον πλέξαιμι τῷ βάθει βάθος,
Καὶ γνῶ τὸ συμπέρασμα τῆς ἀπειρίας,
Καὶ τῆς ἐμῆς γῆς τῆς ἐμῆς μητρὸς μάθω,
Τὸν μακρὸν αὐτῆς πού συνέστειλεν πόδα·
Τότε προσελθὼν ταῖς ὑπερτέραις πύλαις,
Καὶ τὴν ἀνοικτόκλειστον ἐγκλείσω θύραν·
Α'νοίγεται γὰρ καὶ πλέον συστέλλεται·
Α'πλουμένη δὲ καὶ στενουμένη πλέον,
Χαλᾷ τὰ κλεῖθρα, καὶ φοβεῖ τὰς εἰσόδους,
Τοῖς εἰσβαλεῖν τολμῶσιν ἀντικειμένη.
Α'λλ' ὦ τοσούτων ἀρχιτέκτων θαυμάτων,
Ο' τὸν σὸν υἱὸν, τὸν συνάφραστον λόγον,
Ε'κδοὺς δι' ἡμᾶς τοὺς ἀτάκτους οἰκέτας,
Εἰς λύτρον ἐχθροῖς, υἱὸν ἠγαπημένον·
Ο῞πως ἔχοντες, ὥσπερ οἱ κεχωσμένοι
Σκώληκες εἰς γῆν, ἐν τάφῳ τὰς οἰκίας·
Η' γῆ γὰρ ἡμῖν ὡς ἐκείνοις ἦν ὅλα,
Βία, τροφὴ, δίαιτα, καὶ ζωῆς τάφος·
Μὴ συγκατασπασθῶμεν ἐν ζόφῳ πάλιν,
Α'λλ' εἰς ἀνάστασίν τε καὶ νέαν πλάσιν,
Ε'λθὼν, ἐγείρῃ τὴν πεσοῦσαν εἰκόνα,
Καὶ τὰς ἀράχνας τῶν παθῶν ἀποξέσῃ,
Καὶ πάντα τὸν χοῦν ἐκτινάξῃ λεντίῳ·
Σπόγγῳ δὲ τὴν ῥύπωσιν ἐκμάξας ὅλην,
Βρίθουσαν εἰς γῆν πνευματώσει τὴν κόνιν·
Παρ' οὗ τὸ πνεῦμα τῆς ἀληθείας ὅλης,
Ε'κφανθὲν εἶδεν ἡ κτίσις σεβάσμιον·
Τὸν ἀῤῥαβῶνα τῆς ἄνω κληρουχίας,
Τὸν ἄσχετον ῥοῦν τῶν καλῶν χαρισμάτων,
Τὸ ζωοποιὸν τῆς ἁγιστείας κράτος,
Τῆς υἱοθεσίας τὸ προάρχιον πέρας,
Τὸ καὶ μερίζον καὶ διαιροῦν ὡς θέλει,
Τὰς τῶν θεουργῶν δωρεῶν ἐπεκτάσεις·
Τὸ πᾶσι τοῖς ἄνω τε καὶ κάτω μύρον,
Τὸ χρίσμα καὶ χάρισμα τῶν τελουμένων,
Τὸ φθαρτικὸν σύστημα τῆς ἁμαρτίας,
Τὸ ζωτικὸν σύνταγμα τῆς ἀφθαρσίας,
Τὸ φλεκτικὸν φῶς, τὴν δροσίζουσαν φλόγα,
Τὸ τῆς χαρᾶς ὄχημα τῆς αἰωνίου,
Τὸ τῶν προφητῶν ὀπτικώτατον σέλας,
Τὸ πυρσόγλωσσον τῶν 'Αποστόλων στόμα,
Τὸ τῆς πάλης ἅλημα τῆς τῶν μαρτύρων·
Τὸ σύνδρομόν τε καὶ συνέκδρομον σέλας
Τῆς πατροφεγγοῦς τοῦ λόγου θεαρχίας,
Τὸ νυμφικὸν σφράγισμα τοῦ ξένου τόκου,
Η' μυστικὴ κλεὶς τῆς θεοδόχου πύλης,
Δι' ἧς ἄσαρκος εἰσεληλυθὼς λόγος
Ε'ξῆλθεν ὢν ἔνσαρκος, ἐσφραγισμένην
Α'φεὶς ἐκείνην, ὥσπερ εὗρε, τὴν θύραν·
Δι' οὗ φάλαγξ μὲν δαιμόνων ἐλαύνεται,
Πεζεύεται δὲ τῆς θαλάσσης ἡ χύσις·
Ανειμένη δὲ τῆς ῥοῆς ἡ χαυνότης,
Ε'κ τοῦ γεώδους οὐ βαρεῖται φορτίου·
Α῎ρτοι δὲ πηγάζουσι μυριοτρόφοι
Ε'κ πενταρίθμων ἐκρυέντες κλασμάτων·
Υ῞δωρ δὲ νέκταρ θαυματουργεῖται γάμῳ.
Ε῞τοιμος οἶνος ἐξ ἀδήλων βοτρύων,
Καινίζεται δὲ γεῦσιν, ὄσφρησιν, φύσιν.
Καὶ τρεῖς ὅρους ἤμειψεν ἐξ ἑνὸς λόγου·
Παρ' ᾧ τελεσθεὶς καὶ τελώνης, εἰ θέλει,
Εὐαγγελιστὴς γίνεται θεογράφος.
Πόρνη δὲ ῥείθροις δακρύων βαπτίζεται,
Δεικνῦσα πῶς ἔνεστι κινδύνου δίχα
Λουτροῦ μετασχεῖν ἐξ ἀνάγκης δευτέρου,
Δι' οὗ τὰ δεινὰ δουλαγωγεῖται πάθη.
Λώβης δὲ πικρὸς ἐξορίζεται βρόμος.
Σφίγγει δὲ χωλὸς τὰς ἀνάρθρους συνθέσεις.
Ε'κτείνεται δὲ συστολὴ παρειμένη,
Συστέλλεται δὲ δυσπαθοῦσα μακρότης.
Ξηραίνεται δὲ κρουνὸς ᾑματωμένος,
Σφαγεὺς ἀγωγὸς, ἐμφραγεὶς τῷ κρασπέ-
Κόνις δὲ τυφλῶν ὀμματοῖ θεωρίαν, (δῳ.
Τὸ πτύσμα τοῦ πλάσαντος εὐλαβουμένη.
Καὶ νεκρὸς ᾅδης γίνεται παρ' ἐλπίδα,
Πλούτων πενιχρὸς καὶ σφαγεὺς ἐσφαγμένος·
Μαραίνεται γὰρ τοὺς νεκροὺς ἀναπτύων
Οὓς εἶχεν, οὓς ἔσφιγγε κολπώσας κάτω
Ε'ν ταῖς ἑαυτοῦ ψυχολέθροις ἀγκάλαις·
Ε῞ως τὸ σὸν γέννημα, τὸ ζωηφόρον,
Τὸ πατρικὸν φῶς, τὸ πρὸ ἡλίου σέλας,
Τὸ τῶν παλαιῶν ἡμερῶν νέον βρέφος,
Α'νεῖλεν αὐτὸν ἀντὶ λόγχης τῷ ξύλῳ.
Α'λλ' ὦ τοσούτων ἀρχιτέκτων θαυμάτων,
Ο' πρὸς τὸ σὸν θέλημα τὰς ἄνω πύλας
Σφίγγων ὅτε χρὴ, καὶ διευρύνων πάλιν,
Ο῞ταν παραστῇ καὶ δοκῇ σοι συμφέρειν,
Καὶ νῦν παρὼν ἄνοιγε τὰς κάτω πύλας·
Πύλας γὰρ ἡμεῖς κοσμικῶν οἰκητόρων
Ταύτην καλοῦμεν ἣν ἐπύργωσας πόλιν·
Καὶ δὸς τὸν ἐκ σοῦ προσλαβόντα τὸ κράτος,
Τὸν κοσμορύστην, τὸν διώκτην Περσίδος,
Μᾶλλον δὲ τὸν σώσαντα καὶ τὴν Περσίδα.
Ο῞λον κρατῆσαι τὸν ὑφ' ἥλιον τόπον.
Δεῖξον δὲ τὴν γῆν οὐρανὸν μιμουμένην,
Ε'νὸς κρατοῦντος ἡλίου καὶ τῶν κάτω·
Τὸν γὰρ φανέντα Περσικὸν κοσμοκτόνον,
Πρέπει γενέσθαι κοσμικὸν καὶ δεσπότην:
Ποίησον αὐτοῦ τοὺς ἱδρῶτας τῶν πόνων
Λουτρὸν καθαρμοῦ, καὶ στολὴν ἀφθαρσίας·
Αὔξησον αὐτῷ τοῦ φόβου σου τὸ κράτος·
Οὕτω γὰρ ἕξει πιστὰ νικητήρια,
Νίκης κατ' ἐχθρῶν ἀξιωθεὶς δευτέρας,
Ω῾ς τοὺς ἀθέους πυρπολήσας βαρβάρους.
Ρ῾ίζωσον αὐτῷ τοὺς ἐπανθοῦντας κλάδους,
Εἰς ζῶντα καρπὸν κοσμικῆς εὐκαρπίας.
Ποίησον αὐτοὺς πατρὸς εἰκονίσματα·
Οὕτω γὰρ αὐτοῖς διττὸν ἔσται τὸ κράτος.
Ο῎ξυνον αὐτοῖς τὰ ξίφη, πρὸς βαρβάρους,
Ο῞τε πρὸς ἡμᾶς βαρβαροῦται τὰ ξίφη.
Ε῎κτεινον αὐτοῖς εἰς τὸ σῶσαι τὰς φρένας,
Σύστειλον αὐτοῖς πᾶν ἐναντίον θράσος·
Πλάτυνον αὐτοῖς τὰς πρὸς εἰρήνην πύλας,
Στένωσον αὐτοῖς τὰς ἐπαχθεῖς φροντίδας,
Ο' πατριάρχης ταῦτα κράζει καὶ λέγει,
Κἂν ἐστὶν ἰσχνόφωνος ἐξ ἀσιτίας,
Καὶ μὴ λαλῶν ἤχησεν ἔνδοθεν μέγα,
Τὴν γλῶτταν ἐνθεὶς εἰς τὸ πῦρ τῆς καρδίας.



SISMANOGLIO MEGARO

Ἔκρυψεν αὐτὴν, καὶ στομοῦται μειζόνως·
Βοᾷ δὲ σιγῶν, ὡς ὁ Μωσέως φάρυγξ·
Ἀκούεται δὲ μὴ σαλεύων τὸ στόμα·
Τέγγει δὲ τὴν γῆν, καὶ δι' ὀμμάτων βρέχει,
Καὶ πυκνὰ νείφει τῇ φορᾷ τῶν δακρύων.
Ἔγνωμεν αὐτὸν κἂν δοκῇ λεληθέναι.
Δῆλος γὰρ ἦν τὸ βλέμμα χαυνώσας κάτω,
Καὶ τοὺς λογισμοὺς πάντας ἐκτείνας ἄνω.
Ἀλλ' ὦ φονευτὰ τῶν παθῶν τῶν βαρβάρων·
Σφάττεις γὰρ αὐτὰ τῇ μαχαίρᾳ τοῦ λόγου·
Τὸ τεῖχος ἡμῶν δεῖξον ὠχυρωμένον·
Τὰ γὰρ σὰ τέκνα τεῖχος εὗρον αἱ πόλεις·
Πύργωσον αὐτοῖς τὰς ἐπάλξεις ἐκ λίθων,
Τὸν Χριστὸν ἀκρόγωνον ἐμβαλὼν λίθον.
Σύμπλεξον αὐτοῖς μαργαρίτας ἀφθόρους
Ἐκ δακρύων παγέντας, οὐκ ἐξ ὀστράκων.
Λάλει δι' αὐτοὺς τῷ θεῷ καθ' ἡμέραν·
Νυκτὸς γὰρ ἡμῖν οὐκ ἐγείρεται ζόφος.
Στόμωσον αὐτοὺς μυστικοῖς ἀκοντίοις·
Σύμπηξον αὐτοῖς σταυρομόρφους εἰκόνας·
Τεῖνον τὰ τόξα τῇ τάσει τῶν δακτύλων·
Πτέρωσον αὐτοῖς ψαλμοκίνητον βέλος·
Ποίησον αὐτοῖς ἐκ στεναγμοῦ σφενδόνην.
Χάλκευσον αὐτοῖς ἠκονησμένα ξίφη,
Τὸ πῦρ νοητῆς ἐκ πυράγρας ἁρπάσας·
Τὸ τοῦ θεοῦ δὲ πνεῦμα ἐκφυσῶν ἔχων,
Κάμψον δι' αὐτοὺς τῷ θεῷ τὸν αὐχένα,
Καὶ πᾶσα Περσὶς ἀντικάμπτει τοὺς πόδας.
Κλῖνον δι' αὐτοὺς εἰς τὸ βῆμα τὰ σκέλη,
Καὶ πάντας ἄρδην συμπατοῦσι βαρβάρους.
Τὰ νῶτά σου σύννευσον εἰς τὴν γῆν κάτω,
Καὶ πᾶς ὁ κόσμος εὐθέως ἐγείρεται.
Οὕτω γὰρ οἱ νυχθέντες ἐξ ἁμαρτίας
Ὁλκοὶ φραγῶσι, καὶ μετ' εἰρήνης ὅλοι
Τὰ στυγνὰ τῆς γῆς ἐκπεράσωμεν νέφη·
Μιᾷ δὲ φωνῇ πᾶν κεκράξεται στόμα,
Ὡς ἐμεγαλύνθη τοῦ θεοῦ τῶν κτισμάτων
Ἡ δημιουργὸς καὶ σοφὴ πανουργία.

# ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ
## ΤΟΝ ΜΑΤΑΙΟΝ ΒΙΟΝ.

Ἄνοιξον ἡμῖν τοῦ λογισμοῦ τὰς πύλας
Ὁ τῆς ὄνου πρὶν διανοίξας τὸ στόμα.
Εἰ καὶ λέλεκται τοῖς θεόπταις πατράσι
Τὰ τοῦ καθ' ἡμᾶς εὐδιαγνώστου βίου·
Ὅμως ἐκείνοις χρώμενος διδασκάλοις,
Ἐμαυτὸν ὡς ὤνεσιν ἐμμέτρως γράφω,
Δι' ἧς πέπονθα τῶν παθῶν ἀμετρίας,
Γραφεὺς ἐμαυτοῦ καὶ κατήγορος μένων·
Τὴν τοῦ βίου ῥέουσαν εἰκόνα γράφων,
Καὶ τῶν παθῶν τὰ κέντρα μορφῶσαι θέλων,
Καὶ τῷ λόγῳ τὰ νεῦρα τοῦ τύφου ξέων,
Δείξω τὸν ὄγκον μηδαμοῦ βεβηκότα·
Ἀλλ' ὥσπερ οἷς ἔδοξε τὴν τύχην γράφειν,
Σφαίρας ἐχούσης εὐμετάπτωτον βάσιν·
Οὕτω τὰ δυσκάθεκτα τοῦ τύφου σκέλη,
Καὶ κοῦφα δείξω καὶ πλέον παρειμένα·



Οὐχ ἵσταται γὰρ, ὡς ἐπὶ σφαίρας τρέχων,
Ἄνω δὲ πηδᾷ, καὶ κατασπᾶται κάτω·
Ὑψούμενος δὲ δυστυχεῖ, μετάρσιος·
Θᾶττον δὲ πίπτει, καὶ πεσὼν ἀνατρέπει
Τὸν ἐκ τύχης πρὶν κουφοσύνθετον θρόνον.
Τῆς γὰρ τύχης κίνημα τὸν τύφον γράφων,
Τὸ συμβεβηκὸς ἐξελέγξω τῶν δύο.
Ὃ πρὶν κυηθῇ τῇ φθορᾷ συνεφθάρη,
Ὠδῖνος ἐξάμβλωσις ἠθλιωμένη.
Κολάζεται γὰρ τύφος ὠφρυωμένος,
Ἀντοφρυωθεὶς τῇ θέᾳ τοῦ μείζονος.
Ἐκκρούεται δὲ καὶ παρωθεῖται βίᾳ,
Ὡς εἴ τις ὠθεῖ πάτταλον τῷ παττάλῳ.
Ὥσπερ γὰρ εἴ τις ἀσθενὴς θηροκτόνος,
Θέλων βαλεῖν λέοντα πευκίνῳ ξίφει,
Ἐκ τῶν ἑαυτοῦ φθείρεται τοξευμάτων·
Οὕτω ταπεινὸς τύφος, εἰ βάλοι μέγα.
Ἀλλ' ὦ τὸ θερμὸν τῶν ἐμῶν λόγων ἔαρ,
Ὁ τῷ καθ' ἡμᾶς ἀντικείμενος σάλῳ,
Καὶ τῷ κλύδωνι τῶν παθῶν ἀντιπνέων,
Ἴθυνον ἡμῶν τὴν λαλοῦσαν ὁλκάδα,
Τῇ σῇ προσευχῇ πνευματώσας τὸ σκάφος·
Τῇ τοῦ βίου γὰρ κυματούμενος ζάλῃ,
Ὁμοῦ κατ' αὐτὸ καὶ κινοῦμαι καὶ γράφω.
Ὁ χοῦς, ὁ πηλὸς, ἡ παλίνστροφος κόνις·
Τῇ γῇ γὰρ ἡ γῆ συμβιβάζεται πάλιν,
Καὶ σπαργανοῦται τῷ γεώδει σπαργάνῳ,
Καὶ χοῦς πάλιν πρόεισιν, ὥσπερ ἡ κόνις
Ἣν ἡ βιαία συστροφὴ τῶν πνευμάτων
Πρὸς ὕψος ἐξαίρουσα συστέλλει κάτω.
Οὕτω γὰρ ἡμῶν τὸν πολύστροφον βίον
Αἱ τῶν πονηρῶν πνευμάτων καταιγίδες
Πρὸς ὕψος ἐξαίρουσι καὶ δόξαν νόθην.
Αὖθις δὲ χοῦς κάτεισι καὶ νεύει κάτω,
Ἕως ὁ τοῦ κτίσαντος ἁρμόσῃ λόγος
Τῶν συνδεθέντων τὴν ἀναγκαίαν λύσιν.
Νῦν δὲ προκύψας ὥσπερ ἔκ τινος βάθους
Ὁ χοῦς, ὁ θείᾳ πνευματωθεὶς εἰκόνι,
Καὶ τὰς γεώδεις ἐκβοᾷ τραγῳδίας,
Καὶ τὸν γελᾶν δοκοῦντα δακρύει βίον.
Ἤδη μὲν οὖν ἔπλαττον οἱ μυθογράφοι
Ἀνθρωπόμορφον ἵππον, ἢ τοὐναντίον
Ταυροπρόσωπον ἄνδρα συμπεφυρμένον·
Δεικνύντες, οἶμαι, τὸν πεφυρμένον βίον·
Πολὺς γὰρ ἡμῖν ἐντεθήσεται γέλως,
Εἰ μή τις αὐτῶν τοὺς ἀποκρύφους λόγους
Ἔμφρων λογισμὸς εὐσεβῶς μεθαρμόσῃ.
Κάτω μὲν οὖν ἄνθρωπος ἦν πεπλασμένος,
Ἄνω δὲ μορφὴν δεικνύων κερασφόρον,
Αἰνιγματώδεις λοιπὸν εἶχεν ἐμφάσεις·
Ὡς πᾶς ὁ μιγνὺς τῇ λογιστικῇ φύσει
Τὰς κτηνομόρφους τῶν παθῶν παρεμφάσεις,
Ἀνατρέπει τὸ πλάσμα, καὶ πεφυρμένος
Ἐκ τοῦ λόγου μέτεισιν εἰς κτηνωδίαν·
Οὕτως ἀμειφθεὶς τῇ κακῇ παραπλάσει
Ἄνθρωπος εἰς βοῦν φατνιῶν παρετράπη·
Καὶ τῶν παθῶν τὸν χόρτον ἐσθίων μάτην,
Τὸ κάλλος ἀντέστρεψεν εἰς ἀμορφίαν·
Καὶ δεσμὸν, οἶμαι, προσφόρως ἐδέξατο,
Ὡς λαβυρίνθῳ τῷ πολυσχιδεῖ βίῳ
Λοξὴν ἔχοντι τὴν δυσέκβατον θύραν·
Ὅσον γὰρ αὐτὴν ἐκτρέχειν ἐπείγεται,
Τοσοῦτον αὐτὸς γίνεται τῆς ἐξόδου,
Ἐντεῦθεν, οἶμαι, καὶ νόσοις καὶ φροντίσιν

Ὡς κτῆνος ἀργὸν εἰκότως μαστίζομαι,
Ὅπως βαρυνθεὶς τῇ κακῇ μετουσίᾳ
Ἐν τῷ περισπᾶσθαί τε καὶ βρίθειν κάτω,
Ὡς οἱ νοσοῦντες εἰς ἀνάκτησιν τρέχων,
Τὸ πρῶτον εἶδος ἀντιμορφώσω πάλιν.
Ὢ τῆς καθ᾽ ἡμᾶς ἀστατρόφου χλόης,
Ὢ βλαστὸς ἔμπνους, οὗ τὸ κάλλος ὀξέως
Σὺν τῷ θερισμῷ τοῦ χρόνου μαραίνεται.
Τίς οὖν σκοπήσας ἐξ ἀπόπτου καρδίας
Τὸ τοῦ βίου θέατρον αἰσχύνης γέμον,
Θρήνῳ γελῶντι μὴ σβέσῃ τὸ παίγνιον;
Ἤδη γὰρ ἡμᾶς καὶ γελῶσι πολλάκις
Οἱ τοῦ νόθου γέλωτος ἐργάται νόθοι·
Θρόνους προθῶντες, ζωγραφοῦντες ἀξίας,
Ἀρχὰς ἀναπλάττοντες, ὡς ἂν ἡ μέθη
Τὴν τοῦ γέλωτος συμφορὰν ἀναπλάσῃ·
Καί τις παρ᾽ αὐτοῖς ἀρχικὴν ἐνειμένος
Στολὴν ἐπῆρται, καὶ σχεδιάζει τύχην,
Καὶ σχηματίζει μὴ λαλῶν τὴν ἀξίαν.
Φαντάζεται δὲ μηδὲν ὤν, ὡς ὢν ὅλα·
Καὶ μηδὲν εἰδώς, εἰδέναι δοκεῖν θέλει,
Διπλῆν ἔχων ἄνοιαν εἰς ψυχὴν μίαν,
Πλαστὸς σοφιστής, μωρὸς ἠττικισμένος·
Καὶ παίζεται μέν, πλὴν τέως φρονεῖ μέγα,
Ἕως παρέλθοι τοῦ βίου τὸ παίγνιον.
Οὕτω πέφυκε τῶν ῥεόντων ἡ φύσις
Σκηνῆς ἀδελφή, συγγενὴς ἐνυπνίων·
Παρέρχεται γὰρ πᾶς ὁ τοῦ τύφου σάλος,
Ὡς ὕπνος, ὡς ὄνειρος, οὐκ ἔχων στάσιν.
Καὶ πολλάκις χυθέντα καὶ τεθρυμμένον
Ἐν τῇ καθ᾽ ὕπνον τῶν λογισμῶν ἐκστάσει,
Ἀναπτεροῖ τὸν ἄνδρα τῇ κούφῃ θέᾳ·
Κλέπτει δὲ τὸν νοῦν καὶ μεταίρει τὴν φύσιν,
Ὥσπερ πονηρὸς τῶν φρενῶν ὁδοστάτης.
Καὶ πλοῦτον αὐτῷ μὴ παρόντα συλλέγει,
Καὶ σχηματουργεῖ τὰς ἐνύπνους ἀξίας,
Χαρᾶς ἀπράκτου δεικνύων ἰνδάλματα·
Καὶ μαργαρίτας λευκοδέρμους προσφέρει.
Καὶ τοὺς ἀδήλους τῶν πυραυγῶν ἀνθράκων
Λίθους ὑφάπτει, καὶ πυροῖ τὴν καρδίαν
Τοῦ μὴ λαβόντος, ὡς λαβόντος τὴν χάριν·
Οὐκ οἶδα πῶς τὸ πλάσμα τῶν ἐνυπνίων
Ὡς πρᾶγμα δεικνύς, καὶ φρενοφθόρῳ βίᾳ,
Αἰσθητικὴν δρῶν τὴν ἀναίσθητον πλάνην.
Πλὴν μικρὸν οὔπω καὶ παρῆλθεν ἡ χάρις·
Εὐθὺς γὰρ αὐτὸν ζημιοῖ τῆς οὐσίας.
Κλέπτουσι γάρ που καὶ τοὺς φίλους αἱ τύχαι,
Δι᾽ ὧν ἔχουσι σαρκικῶν ψυχαρπάγων,
Εἰ μή τις αὐτοῖς σωφρονῶν ἀντεμβάλοι
Τὸ γνωστικὸν φρόνημα τῆς συμμετρίας.
Ὡς μήτε χαύνως, μήτε μὴν ὑφειμένως
Κινῶν τὰ νεῦρα τῶν ἐν ἡμῖν ὀργάνων,
Λύσει τὸν ἁρμόζοντα τῇ ψυχῇ τόνον·
Μηδ᾽ αὖ βιαίᾳ καὶ βαρείᾳ συντάσει
Φόρει τὰ κοινὰ ταῦτα τοῦ βίου βέλη·
Ἴσῳ δὲ ῥυθμῷ συμβιβάζει τὴν λύραν,
Ὡς ἂν δι᾽ αὐτῆς ἀσφαλῶς ἡρμοσμένης,
Καὶ τῶν λογισμῶν ἠρεμοῦντι θηρία,
Ὅτε σφαλεῖσα τοῦ πρέποντος ἡ φύσις
Πρὸς θηριώδεις ἐκτραπῇ μετουσίας.
Ἀνὴρ γὰρ οὗτος δείκνυται πεπηγμένος.
Ὑπερβεβηκὼς τῆς πλάνης τὰ δίκτυα,
Καὶ τοὺς ὀλίσθους τῆς ἀειστρόφου τύχης.
Ἡ γὰρ παρ᾽ ἄλλοις ὠνομασμένη τύχη,



Ὅσον ἂν ἀρθῇ πᾶς ὁ τοῦ τύφου σάλος,
Βράζει δοκήσει, καὶ διαρρεῖ τῇ φύσει,
Καὶ πρὸς μέγαν κίνδυνον ἦρται καὶ φόβον·
Ὡς οἱ διατρέχοντες ἐκτενεῖ σκέλει·
Ὡς οἱ πρὸς ὕψος ἐν μεταρσίῳ τάσει
Σχοίνους διατρέχουσιν ἰσχνοσυνθέτους.
Εἴ που παρασφαλῶσι τῶν ὑψωμάτων,
Ἐν τῷ βάθει πίπτουσι τῶν συντριμμάτων.
Εἰ δ᾽ αὖ ταπεινός ἐστι καὶ βλέπει κάτω,
Πρὸς ὕψος ἦρται, καὶ πλέον τοῦ Περσέως,
Κἂν μὴ πτεροῦται, καὶ φονεύει Γοργόνας,
Τὰς δυσπροσώπους καὶ πλάνης ἁμαρτίας,
Αἳ τοὺς πρὸς αὐτὰς ἐκτενῶς θεωμένους
Λίθους μεταλλάττουσιν ἐμψυχωμένους,
Καὶ πρὸς τὸ κῆτος τῶν παθῶν τετραμμένους,
Τὸ μὲν φονεύει τῷ μεταρσίῳ δρόμῳ,
Σώζει δὲ σεμνὴν παρθένον τὴν καρδίαν.
Εἰ γὰρ μαθητιῶν τις ἐμφρόνως θέλοι
Μαθεῖν ἑαυτόν, πᾶσαν ἔγνω τὴν φύσιν·
Καὶ κοσμικὴν φρόνησιν εἰκότως ἔχει·
Σμικρὸς γάρ ἐστι κόσμος ἀνθρώπου φύσις·
Καὶ μηδὲν εἶναι σωφρόνως πεπηγμένος·
Ἄνω βαδίζει τῷ βεβηκέναι κάτω·
Φεύγει δὲ τιμὴν τὴν καλὴν ἀτιμίαν,
Πολλήν τε δόξαν τὴν ἀδοξίαν ἔχει·
Ἅπερ γὰρ ὕβρις εἰσὶ τοῖς τιμωμένοις,
Ἔπαινός ἐστι ταῦτα τοῖς ὑβρισμένοις.
Ἡ γὰρ παρ᾽ ἄλλοις ὠνομασμένη τύχη,
Εἰκών τίς ἐστιν ἀπρεποῦς ὀρχιστρίδος
Ἐν τοῖς ἑαυτῆς ἀντικλωμένης στρόφοις,
Χειροτονούσης τοῦ βίου τὰ πλάσματα
Σκιαῖς ἀμυδραῖς, οὐχ ὑπόντων πραγμάτων.
Ἣ θρύπτεται μὲν ἀπρεπῶς ὀρχουμένη,
Στρέφει πάλιν δὲ τὰς κόρας τῶν ὀμμάτων
Πρὸς οὓς τὸ χαῦνον ὄμμα λοξῶσαι θέλει.
Εὐθὺς δὲ πέμπει πρὸς τὸν ἄλλον τὴν θέαν,
Συναστατεῖν θέλουσα τῇ θεωρίᾳ.
Μορφοῖ δὲ πολλά, πάντα μὲν μιμουμένη,
Μηδὲν δὲ δρῶσα τῶν ἀεὶ πεπηγμένων.
Ἢ μαχλὰς ὄντως, ἢ ποθεῖ μὲν οὐδένα,
Ἐρᾶν δὲ παντὸς σχηματίζεται πόθου,
Ἄλλοις μὲν ἀρχαὶ καὶ θρόνοι καὶ σήματα,
Οἷς εἰσιν ἔχθραι συμφυεῖς, καὶ φροντίδες·
Ὅσοις δὲ νοῦς πέφυκεν ἐστηριγμένος,
Ἄλλοις προσηνὲς τὸ θρασύγλωσσον στόμα,
Σοφῷ δὲ σιγὴ καὶ γαλήνη καρδίας.
Ἄλλοις ἐραστὸς ὁ φρενοβλαβὴς φθόνος·
Χρυσοῦν δὲ μῆλον ἡ φονοσταγὴς ἔρις·
Τοῖς δ᾽ αὖ γε σεμνοῖς ἡ κατὰ φθόνου μάχη,
Ἔρις δὲ μέχρι τοῦ πατάξαι τὴν ἔριν.
Καὶ τοῖς μὲν ἡδὺ τῆς τροφῆς τὸ φορτίον,
Τὸ πρὸς νόσους ὄχημα τῆς ἀπληστίας·
Σοφοὺς δὲ λιμὸς καὶ ποτίζει καὶ τρέφει.
Ὁ τοῖς ὀνείροις μὴ βαρύνων τὴν φύσιν.
Ἄλλους ὁ πλοῦτος ζημιοῖ τῇ προσθέσει·
Σεμνοῖς δὲ κέρδος εὐσεβοῦσα ζημία.
Ἄλλοις περισπούδαστος ἡ προεδρία,
Ὁ τερπνὸς οἶκος, ἡ πενιχρὰ τερπνότης,
Τὸ σαθρὸν εὐτύχημα τοῦ νόθου κλέους·
Τῷ δὲ φρονοῦντι πᾶσα γῆ προεδρία·
Κοινὴ γὰρ ἡ γῆ πρὸς θρόνους τε καὶ τάφους.
Εἰ μή τις ἡμᾶς ζῆλος ὡς σάρκου πάθους
Δάκνει βλέποντας ἀξίας ἀναξίους·
Τοῦ Στέντορος γὰρ ἐκβοῆσαι μειζόνως.



SISMANOGLIO MEGARO

Ὡς τῶν καλῶν μὲν οὐ καθαρτέον ψόγος.
Εἰ καί τις αὐτοὺς λοιδορῶν ἐπικλύσει.
Τὸν δ᾽ αὖ πονηρὸν οὐδὲ μορφῶσαι θέλων
Ὥσπερ κολοιὸν ἐκ πτερῶν ἀλλοτρίων,
Ἔπαινον οἶδε τὴν ἀμορφίαν τρόπων.
Παρέρχεται γὰρ ἡ παροῦσα λαμπρότης,
Καὶ πᾶσα δόξης ἀστατοῦσα κουφότης,
Ἐκτείνεται δὲ καὶ πάλιν συστέλλεται·
Ὥσπερ πονηρὸς ταῖς ἑλίξεσι δράκων,
Δοκεῖ τετᾶσθαι, καὶ πλέον συστέλλεται.
Ὡς ἂν μάθοιμεν τοὺς ὑπερφρόνας τρόπους,
Ὄφεις νομίζειν, καὶ δρακόντων ἐκγόνους.
Οὕτω παρέρπει πᾶς ὁ τοῦ βίου δρόμος,
Καὶ παντὸς ὄγκου συστολὴ τεθρυμμένη,
Ὡς πομφόλυξ σφύζουσα καὶ φυσωμένη·
Καὶ πρὸς μὲν ὕψος τῷ δοκεῖν ἐπηρμένη,
Εἰ δ᾽ αὖ τι μικρὸν ἐν μέσῳ λεληθότως
Ἢ κάρφος ἢ ψὶξ ἢ σταγὼν παρεμπέσοι,
Ἀνετράπη τὸ κοῦφον εἰς τοὐναντίον,
Καὶ τῇ βιαίᾳ προσβολῇ συνεστάλη.
Ἀλλ᾽ ὦ διαυγὲς ὄμμα τῆς ἐκκλησίας,
Ὁ πατρικὸς νοῦς, ἡ ταπεινὴ καρδία·
Εἰ καὶ πέτῃ γὰρ καὶ τὸν αἰθέρα τρέχεις,
Ταπεινὸς ἦσθα, καὶ συνέρχῃ τοῖς κάτω·
Σὺ δεῖξον ἡμῖν γνωστικωτέρῳ τρόπῳ
Πῶς ἐστὶν εὑρεῖν ἐκδρομαῖς ἀντιστρόφοις
Τὸ πτωχὸν ἦθος, οὐρανόδρομον φύσει·
Ἐναντίαις δὲ πῶς χαμαίζηλος μένει
Ὁ πτωχὸς ὄγκος, καὶ προσήλωται κάτω.
Ὅς οὐκ ἀκόμψως, ὡς δοκεῖ μοι, καὶ Πλάτων
Προσεμπεπάρθαι συγγραφῇ τῇ καρδίᾳ,
Ὡς ἔσχατον χιτῶνα τῆς ἁμαρτίας.
Εἰ καὶ κατισχύσει γὰρ ἀνθρώπου φύσις
Ῥίψαι τὰ πολλὰ τῶν παθῶν καλύμματα,
Τὸν φορτικὸν χιτῶνα τοῦ τύφου φέρει·
Βρίθει δὲ τοῦτο μέχρι τῆς ᾅδου πύλης.
Μᾶλλον δὲ πάντων τῶν παθῶν νεκρουμένων,
Τύφος τελευτᾶν οὐδὲ γηράσαι θέλει.
Ψυχῆς γάρ ἐστιν ὡς τὸ πλεῖστον ἡ νόσος.
Καὶ νοῦς ὁ πάσχων, ἡ νομὴ δὲ τοῦ πάθους
Ἰὸς δράκοντος· ᾧ γὰρ ἐβλήθη βέλει,
Τούτῳ τιτρώσκειν καὶ τὸν ἄνθρωπον θέλει.
Ὁ νοῦς γὰρ ὥσπερ ἀσφαλὴς ἐπιστάτης
Πώλους ἐλαύνειν συμφυεῖς εἰθισμένος,
Τὰ δυσκράτητα τῶν παθῶν κινήματα,
Τὸν θυμὸν ἄγχει, τὸν δὲ τύφον δυσκόλως·
Ἐπιθυμίαν δὲ προσδραμεῖν ἠπειγμένην
Τῇ τοῦ λόγου μάστιγι συστέλλει, φόβῳ·
Μήπως ὁμοφρονοῦσα τῷ συνεργάτῃ
Θυμῷ, ταράξῃ τὸν διφροστάτην λόγον·
Μέσον δὲ τοῦτον εὑρεθῇ πεφυρμένον
Ὄχημα λαμπρὸν ἐκ Θεοῦ πεπηγμένον.

SISMANOGLIO MEGARO



# ΝΙΚΗΦΟΡΟΥ ΠΟΝΗΜΑ
## ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ ΓΡΑΦΗΣ
### ΠΑΣΗΣ ΣΥΝΟΨΙΣ ΗΚΡΙΒΩΜΕΝΗ.

### Περὶ ἁγίας Τριάδος.

Θεὸς πατὴρ νοῦς ἐστιν ἄναρχος φύσις,
Ἄληπτος, ἀπρόσιτος, ἄρρητος λόγοις,
Ἀμυδρῶς εἰς νοῦν ἐντυπούμενος μόλις.
Ὅστις ὑπὲρ νοῦν ὑπὲρ ἅπαντα λόγον,
Ὡς νοῦς μέγας ἤνεγκεν ἐκ γαστρὸς τόκον,
Γεννήσας υἱὸν αὐθυπόστατον λόγον
Πρὸ τῶν χρόνων μάλιστα καὶ τοῦ φωσφόρου.
Ταυτὸν πατρὶ σύμπασι, πλὴν τῆς αἰτίας
Ὃς ἐκπορεύει καὶ τὸ πνεῦμα ἀχρόνως.
Ἴσον θεὸν, τέλειον αὐτῷ καὶ λόγῳ,
Ὑποστάσεις τρεῖς, εἷς Θεὸς φύσιν μέγας,
Νοῦς, καὶ λόγος, πνεῦμά τε πατρὸς ἐκ μόνου.

### Περὶ ἀγγέλων.

Οὗτος κινηθεὶς, αὐτάγαθος τυγχάνων,
Ὡς νοῦς νοεῖ πρώτιστα τάξεις τῶν νόων.
Θρόνους, Χερουβὶμ, καὶ Σεραφὶμ ἀΰλως,
Κυριότητας, δυνάμεις, ἐξουσίας.
Μεθ᾽ οὓς, τὰς ἀρχὰς, ἀρχαγγέλους, ἀγγέ-
Ὡς ἐν ῥιπῇ δ᾽ ἔστησαν ἀρρήτοτρόπως. (λους.

### ΓΕΝΕΣΙΣ.

Ἔπειτα τὴν γῆν, οὐρανοῦ μέγα πλάτος,
Καὶ τὰν μέσῳ σύμπαντα πανσόφως ἄγει,
Τὸν αἰθέρα πῦρ, δεύτερον τὸν ἀέρα,
Τρίτον ὕδωρ τε, καὶ τὸ γῆς βάρος μέγα,
Πλὴν τάξιν ἐντέθεικε ταῖς κοσμουργίαις,
Κἂν σύμπαν ἐξήνεγκεν ἀθρόῳ λόγῳ,
Ἐν ἡμέρᾳ πρώτῃ γὰρ ἐκχέει φάος,
Τὸ τῆς ἀβύσσου παντελῶς λύσας σκότος.
Τῇ δευτέρᾳ δὲ τὸ στερέωμα φέρει.
Ὕδωρ συνάγει δένδρα καὶ χλόην τρίτῃ.
Φωστῆρες, ἄστρα, τῆς τετάρτης τὸ κλέος.
Ἔργον δὲ πέμπτης ἰχθύων πτηνῶν γένη.
Ἕκτῃ δὲ τῆς γῆς ἑρπετὰ καὶ θηρία.
Καὶ πάντα καλὰ, καὶ Θεὸς κυροῖ λέγων,
Μεθ᾽ ὧν ἀρίθμει καὶ τὸν ἄνθρωπον τέλος
Πλασθέντα χειρὶ τοῦ Θεοῦ καινοτρόπως.
Ἔργων δὲ πάντων κατάπαυσις ἑβδόμη
Ἣν εὐλογήσας ἡγίασεν εὐθέως.

### Περὶ παραδείσου καὶ παραβάσεως.

Εἶτα φυτουργεῖ τὴν παραδείσου χάριν,
Φυτοῖς, ποταμοῖς, καὶ θεωρίας ξύλῳ,
Δίδωσιν Ἀδὰμ εἰς τρυφὴν τὸ χωρίον.
Κλῆσις ἁπάντων ἑρπετῶν καὶ θηρίων,
Ἔκστασις, ὕπνος, γυναικὸς Εὔας πλάσις.
Ἀδὰμ γινώσκει, καὶ καλοῦ φίλτρου σχέσιν.
Ἐνταῦθα κανὼν πλὴν ἑνὸς πᾶν ἐσθίειν.
Γύμνωσις ἀναίσχυντος αὐτῶν ἐν τόπῳ,
Σύμβουλος ἐχθρὸς, καὶ παράβασις νόμου.
Αἰδὼς, τὰ φύλλα, καὶ Θεοῦ ποδῶν κτύπος.
Ἀδὰμ κρίνηται, καὶ Θεοῦ πάλιν λόγος,
Εὔα πρόφασις, ὄφις, ἐνθάδε κρίσις,

Ὄφις λάχων χοῦν, ὠδῖνες Εὔας κόποι.
Ἱδρῶτες Ἀδὰμ, τριβόλων πλῆρες πέδον,
Καὶ πάντα δεινὰ, ϗ χιτὼν ἐκ δερμάτων,
Ἀρὰ, τέλος θάνατος, ἔκπτωσις τόπου,
Στρεπτὸς Χερουβὶμ τῆς Ἐδὲμ φρουρὸς θύρας.

### Περὶ τοῦ Κάϊν ϗ Ἄβελ, Σὴθ, καὶ Ἐνώς.

Κάϊν, Ἄβελ γέννησις, εἶτα θυσία,
Θεοῦ κόραι βλέπουσιν ἐν δώροις Ἄβελ,
Ἄβελ φθόνος, φόνος τε ϗ ψευδεῖς λόγοι,
Αἷμα βοῶν ἔντρανον ἀδίκου φόνου,
Ἑπτὰ Κάϊν δίκαια, κατάρα, τρόμος.
Κάϊν δ' Ἐνὼχ ἑξῆς ἐγεννήθη μόνος,
Τούτου Γαϊδὰδ, Μουαὴλ, Μαθουσάλα,
Λάμεχ, Ἰουβὰλ κιθαριστὴς εἰς γένος.
Μεθ' οὓς Ἰωβὴλ, ϗ Θοβὲλ σφυροκτύπος·
Κάϊν θάνατος ἐκ Λάμεχ τοῦ τοξότου.
Ἐνταῦθα ϗ Σὴθ, ϗ κατάλογος πάλιν,
Ἐν οἷς Ἐνὼς ἤλπισεν εἰς Θεὸν μόνος,
Ἐξ οὗ Καϊνᾶν, Μαλελεὴλ, Ἰάρεδ,
Ἔπειτα δ' Ἐνὼχ εὐάρεστος ἡρπάγη.
Μέμψις κακίας τοῦ βροτῶν παντὸς γένους
Εἰς πᾶσαν ἀσέλγειαν ἐκδεδωκότος.

### Περὶ τοῦ Νῶε ϗ κατακλυσμοῦ.

Νῶε, κιβωτὸς, κατακλυσμὸς ἐνθάδε,
Κόσμου νέου σπέρματα χωροῦντα ξένον,
Καλὰ τὰ φῦλα ϗ γένος Νῶε μόνον,
Θραῦσις βραχεῖα, ϗ σαλεὶς κόραξ μένει.
Περιστερᾶς τὸ κάρφος, ἐλπίδες ξέναι.
Ἡ λύσις ἰδοὺ ϗ τὰ τοῦ τόξου πάλιν,
Καὶ διαθῆκαι τοῦ Θεοῦ πρὸς τὸν Νῶε,
Κατάλογός τε τῶν Νῶε γόνων μόνων,
Οἵου τόπου κύριος ὤφθη ϗ πόσου,
Κλῆσις δὲ παίδων ὁ Σὴμ, ὁ Χὰμ, Ἰάφεθ,
Οἶνος ἐνθάδε, ϗ πιὼν γυμνὸς Νῶε.
Παροινία Χὰμ τοῦ πατρὸς πρὸς αἰσχύνην,
Γρήγορσις αὖθις Χὰμ, ἀρὰ παισὶ Νῶε.
Ὁ Σὴμ, Ἀρφαξὰδ, Καϊνᾶν τε, ϗ Σάλα,
Ἔβερ, ὁ Φαλὲκ, ϗ κακὴ βουλὴ πάλιν,
Καὶ μέχρι Νεβρὼδ τοῦ γίγαντος οἱ λόγοι.
Πύργος χαλάνης, ϗ λαλίδων συγχύσεις.
Ἐκ τοῦ Φαλὲκ γένους δὲ σειρὰ πρὸς Θάρρα,
Φαλὲκ, ὁ Ῥαγαῦ, ὁ Σεροὺχ, Ναχὼρ, Θάρ-
Ὃς Ἀβραὰμ ἤνεγκε τὸν πατριάρχην. (ραν,

### Περὶ Ἀβραὰμ ϗ Σάῤῥας.

Οὗτος Σάῤῥαν ἔγημε τὴν στεῖραν νέαν,
Εἴδωλα λιπὼν πατρικὰ ξενοτρόπως,
Ἔπειτα πρὸς Αἴγυπτον ἐκ λιμοῦ τρέχει.
Ὑπὲρ τοῦ Λὼτ μάχη δὲ Χοδολλογόμορ,
Καὶ Μελχισεδὲκ τὰς δεκάτας λαμβάνων,
Ἐπαγγελίας Ἰσαὰκ ἰδοὺ λόγοι,
Ὁ δ' Ἰσμαὴλ πέφυκεν ἐξ Ἄγαρ πάλιν.
Ἐκ γῆς Χαῤῥὰν δὲ πρὸς δρυῒ Μαβρῆ μέ-
Φιλοξενία τῆς τριάδος ἐνθάδε, (νει.
Καταστροφή τε τῶν Σοδόμων εἰς τέλος,
Καὶ Λὼτ γυναικὸς εἰς ἁλὸς στήλην τύπος.
Συγγίνεται Λὼτ ταῖς δυσὶ θυγατράσιν.
Ἐν Γεράροις δὲ τὴν Σάῤῥαν Ἀβιμέλεχ
Πρὸς βίαν ἕλκει, ϗ Θεῷ πεισθεὶς λύει.
Ἐνταῦθα γεννᾷ τὸν Ἰσαὰκ εἰς φάος,
Πειρασμὸς Ἄβραμ, ϗ δοκιμὴ πρὸς γόνον,
Ἄθυτον ὄντως Ἰσαὰκ Θεῷ θῦμα.
Σάῤῥας θάνατος, Χεττούρας συνοικία,
Ὅρκια, μηρὸς, Ἀβραὰμ ἰδοὺ μόρος.



### Περὶ Ἰσαὰκ ϗ Ῥεβέκκας.

Συνέρχεται δ' αὖ Ἰσαὰκ τῇ Ῥεβέκκᾳ,
Τίκτει διδύμους Ἰακὼβ Ἡσαῦ γόνους.
Πρὸς Ἀβιμέλεχ Γεράρων βασιλέα
Ὑπὲρ γυναικὸς ϗ φρεάτων ἡ μάχη.
Γῆρας Ἰσαὰκ, ϗ θέλησις βρωμάτων.
Κλέπτων Ἰακὼβ ἐκ τριχῶν εὐχὴν ξένην,
Ἡσαῦ ὁ θυμὸς, Ἰακώβ τε δραπέτης.

### Περὶ Ἰακὼβ, ϗ ιβ πατριαρχῶν.

Ὅπου βλέπει κλίμακα τὴν μεταρσίαν,
Ῥαχὴλ Λείαν δὲ λαμβάνει παῖδας Λάβαν,
Δι' ὧν κυΐσκει δωδεκάφυλον γένος,
Ῥουβὶμ, Συμεὼν ϗ Λευῒ τούτοις τρίτος,
Ἰούδαν, τὸν Δᾶν, Νεφθαλὶμ, Γὰδ, Ἀσὴρ
Ἔπειτ' Ἰσάχαρ, Ζαβουλὼν, Ἰωσήφ τε (τε
Καὶ Βενιαμὶν ἔσχατον πάντων γόνον.
Μετοικία τούτου δὲ, ϗ Λάβαν δρόμος.
Χωρισμὸς αὐτοῦ, ϗ πάλη μετ' ἀγγέλου.
Ἡσαῦ ὑπαντὴ, ϗ Ῥαχὴλ ἰδοὺ μόρος,
Τὰ κατὰ Συχὲμ ϗ τὴν Δίναν ἐνθάδε,
Ἐντεῦθεν εἰς γῆν πατρικὴν ἀνατρέχει
Υἱῶν ἀριθμὸς Ἰακώβ τε ϗ Ἡσαῦ.

### Περὶ ἐνυπνίου ἀποδόσεως τοῦ Ἰωσήφ.

Ὄναρ τὸ καινὸν Ἰωσὴφ τοῦ παγκάλου,
Φθόνος τ' ἀδελφῶν, ϗ δόλος, εἶτα πράσις,
Ὄψις χιτῶνος ῥήξεσιν ᾑμαγμένους,
Καὶ πατρικὸν ἄδηλον ἐκ πόθου δάκρυ.
Ἐνταῦθα κατάλογος Ἰούδα γόνων,
Νύμφης κλοπή τε Θάμαρ εἰς γόνου δόσιν,
Φαρὲς, Ζαρὰ, κόκκινον ἰδοὺ σπαρτίον.
Ἰωσὴφ εἰς Αἴγυπτον ἐξωνημένος,
Οἶκος Πετεφρῆ, κυρίας ἀκρασία,
Ἰωσὴφ ἐγκράτεια, χιτὼν ϗ δόλος,
Εἶτα φυλακὴ, δεσμοφύλακος, χάρις.
Ἐν τῇ φυλακῇ τῶν ἐνυπνίων κρίσις.

### Περὶ τοῦ Φαραώ.

Ἐνύπνια δὴ Φαραὼ βασιλέως.
Παχεῖς, κάτισχνοι, ϗ στάχυες ϗ βόες,
Κρίσις ὀνείρων, Ἰωσὴφ ἀρχῆς κράτος,
Λιμός τε πικρὸς, σιτομετρίας δόσις,
Καὶ τῶν ἀδελφῶν ἐκ λιμοῦ παρουσία,
Γνώρισμα τούτων, Συμεὼν αὖθις σχέσις,
Βενιαμὶν ζήτησις, ἀργύρου δόσις.
Δάκρυα πατρὸς πρὸς λόγους τῶν τεκνίων,
Βενιαμὶν κάτεισι σὺν ὁμογνίοις.
Ἐπηρεασμὸς τῶν ἀδελφῶν ἐνθάδε,
Σκεύους κρυβέντος εὐφυῶς τῷ μαρσίππῳ,
Δίωξις αὐτῶν, ταραχὴ, φρικτοὶ λόγοι,
Ἀνακάλυψις Ἰωσὴφ σὺν δακρύοις.
Ἀγωγὴ πατρὸς, χαρμονὴ τεραστία.
Γῆρας Ἰακὼβ, ἐντολὴ ταφῆς πάλιν,
Σφραγὶς Ἰωσὴφ ἐναλλὰξ τῶν τεκνίων,
Θάνατος αὐτοῦ, πένθος Αἰγύπτου μέγα,
Λύσις Ἰωσὴφ τῶν ἀδελφῶν ἐκ φόβου,
Τῶν ὀστέων ἔπαρσις ἐντεταλμένη,
Εἶτα τελευτῶν Ἰωσὴφ ἐν Αἰγύπτῳ.

## ΕΞΟΔΟΣ.

### Περὶ Φαραὼ ϗ Μωσέως.

Ἄλλος Φαραὼ βασιλεὺς Αἰγυπτίων,
Οὐχ οὖν κατειδὼς Ἰσραὴλ τοὺς ἐκγόνους,
Ὅστις ἐκάκου τοὺς λαοὺς τῶν Ἑβραίων,
Πλινθεία, πηλῷ, μαστίγων ἀτιμίαις,
Τούτων δὲ ῥιπτεῖν ἐγκελεύεται βρέφη.
Ὁ Μωϋσῆς ἔκβλητος εἰς ἅλα θίβῃ,

SISMANOGLIO MEGARO

Καὶ παῖς Φαραὼ τοῦτον ἀξίως τρέφει.
Κτείνει τὸν Αἰγύπτιον, εἶτα καὶ κρίνει,
Ὄνειδος αὐτοῦ, καὶ φυγή τε, καὶ φόβος.
Ἰωθὸρ οἰκείωσις, Σεπφόρας γάμος,
Ἡ τῆς βάτου φλὸξ, ἀγγέλου παρουσία,
Ἀποστολή τε, καὶ τεράστια ξένα.
Σὺν Ἀαρὼν κάτεισιν εἰς Αἰγυπτίους,
Περιτομὴ τέκνου δὲ πρὸς τοῦ ἀγγέλου,
Καὶ πρὸς Φαραὼ σὺν Θεῷ παῤῥησία.
Τῶν Ἑβραίων κάκωσις αὖθις ἐκ λόγων.

Περὶ τῶν δέκα πληγῶν.

Γογγυσμὸς αὐτῶν, ἡ δεκάπληγος βία,
Ὕδωρ ἐρυθρὸν, βατράχων πλῆθος μέγα.
Σκνίπες τὸ τρίτον, καὶ κυνόμυια πάλιν.
Τετραπόδων ὄλεθρος, ἕκτον φλυκτίδες,
Χάλαζα καὶ πῦρ, καὶ βροῦχος σὺν ἀκρίδι,
Τὸ ψηλαφητὸν, καὶ πρωτοτόκων μόρος.
Ἀμνοῦ σφαγή τε, καὶ χρίσις ἐξ αἱμάτων.
Σκευῶν χρυσῶν σκύλευσις ἐξ Αἰγυπτίων,
Ἑβραίων φυγὴ, σὺν Ἰωσὴφ ὀστέοις,
Στύλος πυρός τε, καὶ νέφους κινουμένοις.
Μεταμέλεια Φαραὼ στρατηγία.

Περὶ ἐρυθρᾶς.

Ῥῆξις ἐρυθρᾶς, καὶ διάβασις ξένη,
Αἰγυπτίων σύμπασα πανωλεθρία,
Ὢ, δὴ Μαριὰμ ᾀσματιζούσης μέγα.
Νάματα Μεῤῥᾶς καὶ γλυκασμὸς ἐν ξύλῳ,
Εἶτα γογγυσμὸς τῶν κακίστων Ἑβραίων,
Δι᾽ ὧν τὸ μάννα, καὶ βροχὴ πτηνῶν πάλιν,
Αὖθις τὸ δίψος, ῥάβδος, ἐκ πέτρας ὕδωρ.
Ἔπειτ᾽ Ἰησοῦς Ἀμαλὴκ καταστρέφει
Τοῦ Μωσέως αἴροντος ἐκτάδην χέρας,
Ὑπαντᾷ Μωσῇ πενθερὸς, λαλεῖ πρέπον.
Ἁγνισμὸς ἄκρος, καὶ πλακῶν Θεία δόσις,
Μόσχου κεφαλὴ, συντριβὴ πλακῶν πάλιν,
Ὀργὴ Θεϊκὴ, Μωσέως παῤῥησία,
Νηστεία πάλιν, καὶ πλακῶν ἄλλων δόσις.
Σκηνῆς ἐργασία τε τοῦ μαρτυρίου.

Περὶ νόμου.

Τούτοις δ᾽ ὑπῆρχεν ἡ γραφὴ πλακῶν νόμου.
Κύριος εἷς ἐστὶν Ἰσραὴλ Θεὸς μόνος,
Εἴδωλον οὐδὲν ἐργάσῃ τὸ παράπαν.
Οὔκουν δὲ λήψῃ τοῦ Θεοῦ κλῆσιν μάτην.
Μνείαν δὲ ποίει τῶν σαββάτων ἡμέρας.
Σὸν πατέρα τίμα δὲ καὶ τὴν μητέρα.
Ταῦτα μία πλὰξ, ἡ δὲ θατέρα πάλιν.
Ἥκιστα μοιχίδιον ἐργάσῃ γάμον.
Ἀλλ᾽ οὐδὲ κλέψεις ἐμφανῶς κεκρυμμένως
Οὐδ᾽ αὖ φονεύσεις ἐκ θυμοῦ σου τὸν πέλας.
Ψευδῆ τε μακρὰν ἀπόθου μαρτυρίαν.
Μήδ᾽ ἀγαπήσεις ἔτι τῷ πέλας φίλον.

ΛΕΥΙΤΙΚΟΝ.

Τὰ κατ᾽ Ἀαρὼν καὶ γόνους τούτου δύο.
Διαφοραί τε, προσφοραὶ, καὶ θυσίαι,
Τάξεις λατρείας, καὶ θυτῶν πάλιν χρίσις.
Λεπρῶν κάθαρσις, οἰκίας, ἱματίων.
Γάμοι νόμιμοι, καθαρῶν κτηνῶν κρίσις.
Νηστεία, καὶ σάλπιγγες, ἡ νουμηνία,
Τάξεις ἑορτῶν, καὶ χρεῶν εὐταξία.
Γῆς ἀνάπαυσις, προσαγαὶ, μαρτυρίαι,
Ὁ μηρικισμὸς, καὶ διχηλοῦντα πάλιν,
Τὰ θνησιμαῖα, πνιγμονὴν, σφαγῆς χύσιν.
Περὶ γυναικῶν ἔνθεν ἀκαθαρσίας,
Περιτομή τε τῶν ἐν ἀφέδρῳ πάλιν.



Περὶ γονοῤῥοιῶν τε καὶ συζυγίας,
Καὶ ποία γυνὴ προσφυὴς πρεσβυτέρῳ.
Ἔπειθ᾽ ἑορτῶν τὴν διάταξιν γράφει,
Τοῦ φωτὸς, ἄρτων, καὶ χρόνου λελυμένου,
Περί τε δούλων, καὶ γλυφῆς Θεῶν ξένων,
Ἐφ᾽ οἷς ἀπειλαὶ πρὸς Θεοῦ λελεγμέναι,
Τοῖς ταῦτα φυλάξασι πάντα μηδόλως.

ΑΡΙΘΜΟΙ.

Ἔνθεν ἀριθμὸν τοῦ παντὸς λαοῦ σκόπει,
Εἰς χιλιάδας πάσας ἑξακοσίας,
Καὶ τρεῖς σαφῶς φθάνοντα καὶ περαιτέρω,
Τῆς Λευϊτικῆς δίχα φυλῆς ἐνθάδε.
Τάττει Μωϋσῆς ἱερεῖς καὶ Λευΐτας,
Εἶτ᾽ ἀκάθαρτον ἐκτίθησι τοῦ μέσου,
Περὶ γυναικῶν, τῆς ἐλέγξεως ὕδωρ,
Ἀφαγνισμός τε, καὶ σφραγὶς ἱερέως,
Σκηνῆς τὰ δῶρα, καὶ περὶ λειτουργίας.
Πρώτη κάταρξις τῆς ἑορτῆς τοῦ πάσχα,
Ἐξ ἀργύρου σάλπιγγες ἐσκευασμέναι,
Γογγυσμὸς Ὠδὶ, καὶ τὸ πῦρ κατεσθίον.
Αἰγυπτίων μνεία τε πολλῶν βρωμάτων,
Ὀρτυγομήτρας ὑετὸς οὐρανόθεν.
Λέπρα Μαριὰμ συγγόνου Μωϋσέως.
Σκοποὶ Χαναὰν, καὶ τεράστιος βότρυς,
Χάλεβ, Ἰησοῦς θαῤῥύνων τοὺς Ἑβραίους.
Γογγυσμὸς, ὀργὴ πρὸς Παλαιστίνης ὄρους.
Δαθὰν, Ἀβειρὼν κατάδυσις εἰς χθόνα,
Καί τις ξυλεύων ἐφθάρη τῷ σαββάτῳ.
Ἀνθεῖ τε ῥάβδος Ἀαρὼν ὑπὲρ φύσιν,
Θύται Λευῖται, καὶ σποδὸς σὺν ῥανίδι,
Ὁ Μαριὰμ θάνατος, ὕδατος σπάνις,
Ἐκ πέτρας ὕδωρ διστάζοντος Μωσέως.
Θνήσκων Ἀαρὼν, ὁ δ᾽ Ἐλεάζαρ θύτης,
Τοῦ μάννα κόρος, καὶ λόγοι παροινίας,
Ὄφεις πονηροὶ, καὶ νεκρὸς χαλκοῦς ὄφις.
Τὸν Ὢγ Σηὼν τε Μωϋσῆς καταστρέφει,
Βαλὰκ βασιλεὺς Μωαβιτῶν ἐνθάδε,
Μάντις Βαλαὰμ εὐλογῶν ἐκ κατάρας,
Τὸ Βεελφεγὼρ, καὶ Μωὰβ θυγατέρες,
Στάσις Φινεὲς, καὶ κακοῦ λύσις πάλιν,
Κόραι Σαλπαὰρ, καὶ Μωϋσέως κρίσις,
Ναυῆς Ἰησοῦς εἰς μέσον παρηγμένος.
Πῶς τε βασιλεῖς Μαδιὰμ κατὰ κράτος
Νικᾷ Μωϋσῆς, καὶ Βαλαὰμ τὸν μάγον,
Δυσί τε φυλαῖς τὸν Ἰορδάνην γέμει,
Ἓξ τὰς πόλεις κτίζει δὲ καὶ τοῖς φυγάσιν.

ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ.

Τὸ δευτερονόμιον ἐνταῦθα πάλιν,
Ἀνακεφαλαίωσις ὥσπερ ἐστί τις,
Ὧν εἰς πλάτος εἴρηκε Μωσῆς Ἑβραίοις,
Εἶτα παραινεῖ μὴ γλυφαῖς θαῤῥεῖν ὅλως,
Μνείαν δὲ ποιεῖν τοῦ Θεοῦ παντὶ τρόπῳ,
Ἕκαστον αὐτῶν ἀσφαλίζεσθαι λίαν,
Θεῷ τὸ πᾶν γράφειν τε καὶ περιγράφειν,
Ἔπαρσιν ἄγχειν, εὐσεβεῖν κατακράτος,
Τὸ σκληρὸν ἀπάγειν τε πόῤῥω καρδίας,
Μετὰ πόσιν βρῶσίν τε μεμνῆσθαι νόμου,
Ἑνί τε τόπῳ θυσίας ἀναφέρειν,
Καὶ πάσχα ποιεῖν ἐν μιᾷ πάλιν πόλει,
Μάντεις τε φεύγειν κληδόνας τεραστίων,
Πρόῤῥησις ἔνθεν τῆς Χριστοῦ παρουσίας,
Εἶτα παραινεῖ τοὺς λόγους πράσσειν τέλος,
Στάχυς ἐὰν πωλῆσιν ἐν καιρῷ θέρους,
Τύπτειν τεσσαράκοντα τὸν κακεργάτην.

SISMANOGLIO MEGARO

Βοῦν ἀλοῶντα μηδαμῶς φιμοῦν στόμα,
Καὶ σπέρμ' ἀνιστᾶν συγγόνῳ τεθνηκότι,
Πρόῤῥησις ἔνθεν τῶν κακῶν τῶν ἐσχάτων.
Ἔπειτ' Ἰησοῦς διὰ τόπον Μωσέως,
Ὠδῶν τε πάλιν δευτέρα μαρτυρία,
Ἔλεγχος ὥσπερ Ἑβραίων παροινίας.
Ὁρᾷ Μωϋσῆς ἐνιὼν ὄρος μέγα,
Ἐπαγγελίας τὴν χθόνα Παλαιστίνην,
Ἐπευλογεῖτε τὰς φυλὰς ἐν ὑστέρῳ,
Θανὼν δ' ἀφανὴς καθορᾶται τῷ βίῳ.

ΙΗΣΟΥΣ.

Κρατεῖ δ' Ἰησοῦς ὁ Ναυῆ κεκλημένος,
Πρὸς Ἱεριχὼ τῶν κατασκόπων δρόμος,
Ζήτησις αὐτῶν, φυλακὴ Ῥαὰβ πάλιν,
Σωτηρίας αἴτησις ἐν κατασχέσει.
Κοπεὶς δὲ βατὸς Ἰσραὴλ Ἰορδάνης.
Στάσις τε λίθων τῶν φυλῶν δέκα δύο,
Περιτομὴ δ' ἄξιφος ἔνθεν πετρίνη.
Πάσχα, σῖτος, ἔκλειψις ἄρτι τοῦ μάννα.
Ἱεριχὼ κύκλωσις ἐκ πρεσβυτέρων,
Πόρθησις αὐτῆς, καὶ Ῥαὰβ σωτηρία,
Ἄχαρ κλοπή τε, λιθασμὸς, νίκη ξένη,
Ἧττα Χαναναίων τε καὶ Ἀμοῤῥέων,
Γαβαωνῖται σὺν δόλῳ μετηρμένοι,
Ἀδωνιβεζὲκ πρὸς Γαβαὼ τὴν πόλιν,
Σύμμαχος αὐτῶν εἰσιὼν ἐξαισίως.
Κατὰ Γαβαὼ καὶ στάσις ἡ φωσφόρου,
Βωμὸς φυλῶν πέρα τε τοῦ Ἰορδάνου,
Προσήκοντες λόγοι δὲ, καὶ μάχης στάσις.
Τῆς γῆς μερισμὸς ἡ καλὴ κληρουχία,
Ἧττα δ' ἀρχῆς τῶν πέριξ βασιλέων,
Φυλαῖς παραινῶν Ἰησοῦς ἐν ὑστέρῳ,
Αὐτοῦ τελευτὴ, καὶ τοῦ Ἐλεαζάρου,
Μεθ' ὃν Φινεὲς ἱερατεύει γόνος.
Εἴδωλα, προσκύνησις, ὁ Μωαβίτης
Αἰγλὼμ κατάρχει τοῦ γένους τῶν Ἑβραίων.

ΚΡΙΤΑΙ.

Κριταὶ τὸ λοιπὸν ἐγκαθίσανται μόνοι,
Τὸν Ἰσραὴλ ἄγοντες ἐχθρῶν ἐκ μάχης,
Φυλῆς Ἰούδα προσφυῶς κατηγμένοι.
Ἡ μίξις ἐθνῶν καὶ Θεοῦ μακρὰν πάλιν,
Καὶ Χουσαρσαθὲμ βασιλεὺς τῆς Συρίας
Δουλῶν Ἰσραὴλ καὶ κακῶν ἀνακράτως.
Θεὸς δ' ἐν αὐτοῖς, Γοθονιὴλ ὁ κρίνων.
Μωὰβ βασιλεὺς πάλιν αὐτοὺς ἐξάγει,
Ὃν κτείνας Ἀὼδ Ἰσραὴλ πάλιν κρίνει,
Μεθ' ὃν Σαμεγὰρ κτιννύων ἐναντίους.
Μετὰ χρόνον δὲ παραβάντες τοὺς νόμους
Αἰχμῇ κρατοῦνται καὶ κράτει Χαναναίων,
Ἐλεύθεροι πάλιν δὲ πρὸς Βαρὰκ γόνου,
Καὶ πρὸς Δεβώρας τῆς προφήτιδος μόνον,
Μάχη Ἰαβὶς καὶ στρατηγὸς Σισάρα,
Ὃν Ἰαὴλ ἔκτεινε πασσάλου ξίφει.
Αὖθις Ἰσραὴλ τοῦ Θεοῦ πόῤῥω νόμου,
Καὶ Μαδιὰμ δούλωσις ὑπαντία,
Τοῦ Γεδεὼν κίνησις ἐκ Θεοπτίας.
Πόκος βροχή τε σύμβολα τὰ τῆς νίκης.
Λάψαντες ἄνδρες τριακόσιοι πόμα
Κτείνουσιν ἀθρόως δώδεκα μυριάδας,
Ἐν οἷς Σαλμανὰ, Ζεβεὲ, Ζὴβ, Ὠρήβ τε,
Μετὰ Γεδεὼν Ἀβιμέλεχ παῖς κρίνει,
Βληθεὶς γυναικὸς ἐν μύλωνι τὴν κάραν.
Μεθ' ὃν Θολά τε Ἰαὴλ ἄλλος κρίνων,
Ὀργὴ Θεϊκὴ, δοῦλος Ἰσραηλίτης



Τέκνοις Ἀμμὼν μάλιστα τοῖς Ἀμμανίταις,
Καθίσαται δὲ καὶ κριτὴς Ἰεφθάε
Ὃς ἐκ νίκης ἔθυσε τὴν θυγατέρα.
Μεθ' οὓς Ἰσεβὼν, εἶτα δ' Ἐλὼμ ὁ κρίνων.
Πάλιν Ἰσραὴλ εἰς χέρας ἀλλοσπόρων,
Κριτὴς Μανωὲ κατιδὼν ὄψιν ξένην
Ὃς χερσὶ τὰς λέοντος ἐκρήσσει γνάθους,
Αἴνιγμα γλυκύπικρον ἐκ κάρας μέλι,
Ἧττα τοῦ Σαμψὼν ἐκ γυναικὸς κακίας
Ἀλώπεκές τε, λαμπάδες σιτοφθόροι,
Ζήτησις Σαμψὼν, ἔκδοσις ὁμοσπόρων,
Ῥῆξίς τε δεσμῶν, κἀκ σιαγόνων ὕδωρ,
Παραστάδες τε τῆς Γάζης ἐπηρμέναι,
Γυνὴ Δαλιδὰ, καὶ τριχῶν ξυρὸν θέρος.
Τυφλές τε Σαμψὼν, καὶ γελώμενος λίαν,
Καὶ κατασεισθεὶς οἶκος, ἐν τοῖς σατράπαις
Πλήθει σὺν αὐτῷ καὶ Σαμψὼν τεθνηκότος:
Ἄλλος κριτὴς δὲ Σεμεγὰρ, ἀναρχία,
Ἐξ Ἐφραὶμ ἀνὴρ γλύμμα καινὸν ἐγλύφει.
Πόλις Λαϊσὰν, καὶ Φυληδὰν ἐνθάδε,
Πόλις Γαβαὼ, σὺν γυναικὶ Λευΐτης,
Ὕβρις γυναικὸς, δυσκλεὴς ἀκρασία.
Ἐξ ὕβρεως μόρος τε παννύχου βίας.
Ταύτης μερισμὸς εἰς φυλὰς δεκαδύο.
Ἔνθεν ταραχὴ τῶν φυλῶν πασῶν ξένη,
Λῆψις γυναικῶν ἐκ φυλῆς ὑβρισάσης,
Ἅρπαγμα σεμνῶν παρθένων ἀλλοσπόρων.
Ἐν Ἰσραὴλ δὲ βασιλεὺς οὐκ ἦν τότε
Πράττων ἀγαθὰ, καὶ Θεῷ πεφιλμένος.

Η ΡΟΥΘ.

Γυνὴ Νοεμὶν πρὸς Μωὰβ γῆν ἐκτρέχει
Σὺν Ἀβιμέλεχ συζύγῳ τε καὶ γόνοις,
Φεύγουσα λιμοῦ τὴν βίαν τὴν παμφάγον.
Ἑνὶ γόνων δὲ πρὸς γάμου κοινωνίαν
Συνέρχεται Ῥοὺθ ἡ καλὴ Μωαβίτης,
Χηρεύσασα δὲ πρὸς Βηθλεὲμ ἐκτρέχει,
Ἣ, τινι Βοὸζ πρὸς λέχος τετραμμένος
Θέρους ἐν ὥρᾳ συλλεγούσῃ τὸν στάχυν
Γεννᾷ τὸν Ὠβὴδ Ἰεσσαὶ φυτοσπόρον,
Ὃς τὸν προφητάνακτα Δαβὶδ βλαστάνει.

ΒΑΣΙΛΕΙΩΝ ΠΡΩΤΗ.

Μετὰ κριτὰς δὲ τοὺς προκριθημμένους,
Ἡλὰ θύτης ἔκρινεν Ἰσραὴλ μόνος,
Ὅστις μόρον δέδωκε τῶν παίδων χάριν.
Ἀνὴρ Ἐλκανᾶ, καὶ Φωάννα σὺν Ἄννῃ,
Εὐχῆς Σαμουὴλ ἱερεὺς, Ἄννῃ χάρις.
Θεοῦ λαλιὰ πρὸς Σαμουὴλ τὸν νέον.
Πρόῤῥησις Ἡλεὶ, Φινεὲς, Ὀφνεὶ χάριν,
Ἔθνους ταραχὴ, καὶ κατακράτος νίκη.
Λῆψις κιβωτοῦ, Φινεὲς, Ὀφνεὶ μόρος.
Θάνατος Ἡλεὶ συμπεσόντος ὑψόθεν,
Πτῶσίς τε Δαγὼν, ἕδρα, μῦς Ἀζωτίοις,
Ἐξαποστολὴ τῆς κιβωτοῦ, καὶ χάρις.
Εὐχὴ Σαμουὴλ, ἧττα τῶν ἐναντίων,
Γῆρας Σαμουὴλ, τῶν γόνων ἀταξία.
Βασιλέως ζήτησις ἐκ τῶν Ἑβραίων,
Ὄνοι παραπώλοντο τοῦ Κὶς ἐνθάδε,
Ζήτησις αὐτῶν πρὸς Σαοὺλ ἐν ἡμέραις
Ταύταις, χρίσις τούτου δὲ πρὸς βασιλέα.
Ἀμμὰν ἐπανίστανται τοῖς Γαλαδίταις,
Σαοὺλ βοηθεῖ, καὶ τροποῦται σὺν τάχει,
Δημηγορία τοῦ Σαοὺλ πρὸς τοὺς πέλας,
Φέρει θυσίαν τῷ Θεῷ μόνος μόνῳ,
Καὶ Σαμουὴλ πρόῤῥησις ἀρχῆς εἰς λύσιν.

Ἰωνάθαν παῖς τοῦ Σαοὺλ τραπεὶς μάχαις
Πρὸς τοῦ πατρὸς ἔῤῥωτο τῇ στρατηγίᾳ,
Ἄχρι δὲ νυκτὸς μὴ φαγεῖν Σαοὺλ νόμος,
Παρακοῆς γλύκασμα τοῦ Ἰωνάθαν,
Ψῆφος κατ' αὐτοῦ, καὶ λαοῦ λύσις πάλιν.
Σαοὺλ θανατοῖ τὸν Ἀμαλὴκ εἰς τέλος,
Ἄγαγ περιποίησις, ὀργὴ κυρίου,
Ὅνπερ Σαμουὴλ τῇ μαχαίρᾳ κτιννύει.
Χρίει Σαμουὴλ τὸν Δαβὶδ Θεοῦ λόγοις,
Ψάλλων ὁ Δαβὶδ τὸ Σαοὺλ πνεῦμα λύει,
Καὶ τοῦ Γολιὰδ εὐστοχεῖ τῇ σφενδόνῃ,
Αἶνός τε Δαβὶδ πρὸς γυναικῶν τῷ κράτει,
Νῖκαι τε Δαβίδ, καὶ Σαοὺλ φθόνος πάλιν,
Συνέρχεται δὲ τῇ Μελχὸλ Σαοὺλ κόρῃ,
Ἰωνάθαν ἕνωσις ἀκραιφνεστάτη.
Φεύγει τε Δαβὶδ συζύγου συμβουλίᾳ.
Ἑνοῖ τῷ Σαοὺλ τὸν Δαβὶδ Ἰωνάθαν,
Φυγὴ Δαβὶδ πάλιν δὲ, καὶ πεῖρα τρόπου
Πρὸς Ἀβιμέλεχ ὁ Δαβὶδ ὑπεκτρέχει,
Τοὺς μυστικοὺς ἄρτους δὲ πεινῶν ἐσθίει,
Ἥκει πρὸς Ἀχοῦς τὸν τῆς Γὲθ βασιλέα,
Καὶ σκήπτεται δ' ἔκστασιν ἐν περιστάσει,
Κτείνει Σαοὺλ δὲ πρὸς Δωὴκ πρεσβυτέρους
Λυπεῖ τὸ πραχθὲν τὸν Δαβὶδ ὑπὲρ φύσιν,
Σαοὺλ διώκει, καὶ Δαβὶδ φεύγει πάλιν.
Σπήλαιον ἰδοὺ, καὶ Σαοὺλ Δαβὶδ ἔσω,
Τὸ κράσπεδον σκόπει δὲ Σαοὺλ ἐνθάδε,
Καὶ τὸ δρᾶμα δείκνυσι τῆς ἀδικίας,
Θνήσκει Σαμουὴλ μὴ βλέπων ὁ προβλέπων,
Ὕβρις τοῦ Ναβαλ, καὶ λύσις ἐκ συζύγου,
Αὖθις ὁ Σαοὺλ καὶ Δαβὶδ στρατοῦ μέσον
Δόρυ λαβὼν, ἤνεγκε Σαοὺλ ἐκ κλίνης.

Δαβὶδ πρὸς Ἀγχοῦς τὴν Σικελὰγ λαμβά-
Κατὰ Σαοὺλ στράτευμα τῶν ἐναντίων. (νει,
Ἐγγαστρίμυθος, καὶ Δαβὶδ νικῶν ξένους.
Ὄρη Γελβουὲ, καὶ Σαοὺλ οἰκτρὸς μόρος.
Σὺν Ἰωνάθαν, καὶ Δαβὶδ θρῆνος μέγας.

## ΒΑΣΙΛΕΙΩΝ ΔΕΥΤΕΡΑ.

Μόρος κτανόντος τὸν Σαοὺλ καὶ τὸν γόνον.
Δαβὶδ χρίσις. αὖθις δὲ φυλῆς Ἰούδα
Ὁ Μεμφιβοσθὲ τοῦ Σαοὺλ ἄλλος γόνος,
Σὺν Ἀβεννὴρ ἤρατο τοῦ Σαοὺλ κράτος,
Μάχη κραταιὰ τῶν βασιλέων δύο,
Ὁ Μεμφιβοσθὲ πρὸς Ἀβεννὴρ εἰς μάχας,
Ὑπὲρ γυναικὸς πατρικῆς παλλακίδος,
Ἥκει δ' Ἀβεννὴρ πρὸς Δαβὶδ θαρσαλέος.
Καὶ κτείνεται δὲ πρὸς Ἰωὰβ ἐνθάδε,
Θλίψις μεγίστη τῷ Δαβὶδ τούτου χάριν.
Μεμφιβοσθὲ θάνατος, αἰτίων μόρος.
Δαβὶδ βασιλεὺς ἁπασῶν φυλῶν μόνος
Πρὸς Ἰεβουσσαὶ καὶ Χειρὰμ ἄναξ Τύρου,
Πρὸς ἀλλοεθνεῖς καὶ Δαβὶδ ποιεῖ μάχας.
Ἄγει κιβωτὸν σὺν μέλει καὶ κιθάρᾳ.
Θάνατος Ὀζᾶν, κώλυσις Θείου δόμου,
Δαβὶδ ἀναθήματα τῇ Θεοῦ πόλει,
Τιμᾷ δὲ Δαβὶδ τὸν Ἰωνάθαν γόνον.
Πέμπει πρὸς Ἀννὼν, ἀτιμάζεται λίαν.
Καὶ ῥήγνυται μάχη τις ὡς ἐξαισία.
Ἡ Βηρσαβεὲ, καὶ θάνατος Οὐρίου,
Καὶ παῖς Σολομὼν ἐξ ἀθεμίτων γάμων.
Κρατεῖ δὲ Ῥαμὰθ Ἰωὰβ Δαβὶδ νέμων.
Ἔρως Ἀμνών τε, σύγγονος Θάμαρ πάλιν,
Ἀβεσσαλὼμ ἄριστον Ἀμνὼν εἰς φόνον,
Δαβὶδ πρὸς ὀργὴν Ἀβεσσαλὼμ δραπετεύει,



Καταλλαγὴ τούτων δὲ πολλῷ τῷ χρόνῳ,
Φυγή τε Δαβὶδ, Ἀβεσσαλὼμ ἡ στάσις,
Τὰ κατὰ Χουσῆ καὶ πάλιν Ἀρχιτόφελ,
Κατηγορεῖ Σιβᾶ δὲ τὸν Μεμφιβάαλ,
Ὕβρις Σεμεεὶ, καὶ Δαβὶδ στοργὴ ξένη.
Κοίτην πατρικὴν Ἀβεσσαλὼμ αἰσχύνει,
Βουλὴν ὁ Χουσῆ τὴν Ἀρχιτόφελ τρέπει,
Ἀπάγχεται δὲ καὶ μανεὶς Ἀρχιτόφελ,
Λόγοι τε Δαβὶδ, κρατερὰ μάχης βία,
Ἀβεσσαλὼμ θάνατος ἐκ κόμης ξύλῳ.
Θρηνῶν ὁ Δαβὶδ, Ἰωὰβ ἐπανάγων,
Στροφὴ Σεμεεὶ, καὶ ῥυπῶν Μεμφιβάαλ
Ἀφεὶς τὸν υἱὸν τῷ Δαβὶδ Σιβᾶ χάριν,
Φόνος δ' Ἀμεσᾶ, καὶ Σαβεὲ πρὸς πόλιν,
Λιμός τ' ἐπὶ γῆς, καὶ Σαοὺλ παίδων δόσις.
Καὶ συνεχεῖς μάχαι τε, καὶ Δαβὶδ νέμων
Ἀριθμεῖ λαοὺς Ἰωὰβ τῶν ἁρμάτων,
Ἐννακόσιαι δ' ἦσαν αἱ χιλιάδες.
Ὁ Γὰδ προφήτης αἵρεσιν νέμων μίαν,
Τριῶν τῷ Δαβὶδ πρὸς Θεοῦ κεκλημένων,
Πτῶσις στήθους ἄπειρος ἐκ τοῦ θανάτου,
Δαβὶδ ταπεινὸς ἐν θυσιαστηρίῳ.

## ΒΑΣΙΛΕΙΩΝ ΤΡΙΤΗ.

Ἀδωνίας παῖς, Ἰωὰβ, πανδαισία.
Δαβὶδ γεραρὸς, Ἀβισὰκ ἡ παρθένος.
Ἡ Βηρσαβεὲ, καὶ προφήτης ὁ Νάθαν.
Ἄναξ Σολομὼν, καὶ Σαδὼκ αὐτὸν χρίων.
Ἀδωνίας πρόσεισι καὶ κλίνει κάρα,
Δαβὶδ τελευτᾷ, καὶ παραινεῖ τῷ γόνῳ
Θεοῦ τιμῆς τε, καί τινων τιμωρίας,
Ἀδωνία μόρος δὲ σὺν Ἀβιάθαρ.
Σαδὼκ ὁ θύτης, Σεμεεὶ κρίσις, μόρος.

Αἰτεῖ σοφίαν ἐκ Θεοῦ καὶ Σαλομών.
Κρίνει γυναιξὶν ἀκριβῶς ἐν νηπίῳ,
Περὶ σοφίας καὶ τραπέζης καὶ κλίνης
Τοῦ Σολομῶντος, ὡς ὑπέρλαμπρος λίαν.
Χειρὰμ βασιλεὺς, ὕλη, δρυτόμοι, στίφη.
Ἔγερσις οἴκου Σαλομὼν, εὐχὴ πάλιν,
Ἐγκαίνιά τε, καὶ Θεοῦ φρικτοὶ λόγοι.
Καὶ ναῦς χρυσὸν φέρουσα τῷ Σολομῶντι,
Νότου βασιλὶς ὑπερεκπεπληγμένη,
Πλοῦτος μέγας τε, καὶ χρυσῶν ὅπλων κλέος,
Ἀρχῆς ὁρισμὸς ὑπερεκτεταμένος.
Εἰδωλολατρεῖ καὶ Σολομὼν τὸ ξένον,
Πταίει Θεὸν μάλιστα, καὶ πάσχει πλέον,
Θόρυβος ἔνθεν ταραχῆς πολλῆς βία.
Ἐπαναστάσεις Ἄδερ, Ἐσρὼμ ἐνθάδε,
Ἱεροβοὰμ καὶ τελαμῶνες δέκα.
Θνήσκει Σολομὼν, καὶ Ῥοβοὰμ ἐκράτει,
Λαοῦ τε παράκλησις, ἀπειλαὶ ξέναι.
Φυλῶν μερισμὸς τῶν δέκα, μαστιγίας
Ἱεροβοὰμ, Ῥοβοὰμ ἀποστάτης.
Νόσημα παιδὸς Ἀχιᾶ θανῇ λέγει.
Χρυσαῖ δαμάλεις ἐν Βεθὴλ, καὶ θυσίαι.
Πρόῤῥησις ἀνδρὸς τῶν περὶ Ἰωσίαν,
Τὸ θυσιαστήριον ἐξεῤῥηγμένον,
Ξηρὰ δὲ καὶ χεὶρ ἐν θυμῷ βασιλέως,
Πάλιν ὑγιὴς καὶ τροπὴ μὲν πρὸς λόγον,
Καὶ τὸν προφήτην θηρίον κατεσθίει,
Εἰδωλολατρεῖ καὶ Ῥοβοὰμ εἰς τέλος,
Ἥκει Σουσακεὶμ βασιλεὺς Αἰγυπτίων
Ἱερουσαλὴμ ἐκκενοῖ τῶν χρημάτων.
Νοσῶν Ἀβιᾶ καὶ πρὸς Ἀχίαν δρόμος.
Θνήσκει Ῥοβοὰμ, Ἀβιᾶ κρατεῖ πάλιν,

Μεθ' ὃν περ Ἀσὰ πρὸς Θεὸν τὸν νοῦν στρέφων
Καὶ τῶν ξοάνων τοὺς λαοὺς μεταστρέφει.
Ἱεροβοὰμ ἐκψύχει δ' ἀποστάτης.
Ἔπειτα Ναβὰτ ὃν ὁ Βασὰκ κτιννύει,
Τούτου μάχη τις πρὸς Ἀσὰμ μετὰ Σύρων,
Ὄνειδος Ἀσὰ τῶν Θεϊκῶν χρημάτων.
Μετὰ Βαασᾶ Ὀϊλᾶ κρατεῖ γόνος,
Τοῦτον δὲ Ζαμβρῆς ἐκτίθησι τοῦ μέσου,
Καὶ σύμπαν αὐτῷ τοῦ κράτους ἀνατρέπει
Ἐμπρήσας αὐτὸν συνάμα ταῖς οἰκίαις,
Κρατεῖ μετ' αὐτὸν πάλιν Ἀμβρῆ παιδίον,
Οὗ παῖς Ἀχαὰβ ὁ κάκιστος αἴω.
Ἰωσαφὰτ ἄρχει δὲ φυλῆς Ἰούδα.

Περὶ τοῦ Προφήτου Ἠλιοῦ.

Στέρησιν ὄμβρων Ἠλίας προμηνύει,
Τρέφει κόραξ δὲ τὸν προφήτην εὐθέως,
Καὶ χήρα φιλόξενος ἡ Σαραφθία,
Ὁ καμψάκης ἔλαιον, καὶ δρὰξ ἀλεύρου,
Παιδὸς τελευτὴ, καὶ πνοὴ πάλιν ζωή.
Πρὸς Ἀχαὰβ κάτεισιν Ἠλίας μέγας,
Τὴν θυσίαν ὕδατι τὸ ξένον φλέγει,
Τοὺς ἱερεῖς θύει δὲ τοὺς τῆς αἰσχύνης,
Ἄνεισιν εἰς Κάρμηλον, ὑετὸν χέει,
Φεύγει τε μακρὰν ἐξ Ἰεζάβελ φόβου,
Τεσσαράκοντα δ' ἀσιτεῖ πρὸς ἡμέρας,
Πρὸς τὸν Θεὸν κράζει τε τοῦ ζήλου λόγους.
Ἐλισσαῖος πρόσεισιν ἀφεὶς τοὺς βόας.
Μόρος Ναβουθαὶ φεῦ χάριν τῆς ἀμπέλου,
Φόβος, ἀπειλαὶ, καὶ κατάνυξις πάλιν.
Ἐπιστρατεύει βασιλεὺς Σύρων Ἄβερ,
Κατακράτος ἥττητο, δουλοῦται ξένως.
Τιμῆς Ἀχαὰβ ἀξιοῖ τὸν οἰκέτην,
Πρὸς Ἀχαὰβ ἔλεγχος ἀνδρὸς γυναίδου.
Ὁ Μιχαίας δὲ συμφορὰς αὐτῶν λέγει,
Δεσμὰ, φυλακὴ τῷ προφήτῃ πρὸς τέλος.
Συρρήγνυται πόλεμος, Ἀχαὰβ νέμει
Τῷ Ἰωσαφὰτ τὴν στολὴν τῶν ἁρμάτων,
Αὐτὸς δ' ἐκείνου τὴν στολὴν ὑποδύει,
Στολὴ δ' ἐναλλὰξ τὸν στρατὸν μεταστρέφει,
Καὶ πλήττεται μὲν Ἀχαὰβ ἐν τῇ μάχῃ,
Τῶν αἱμάτων σπῶσι δὲ τὴν ῥοὴν κύνες.
Μετὰ δὲ τοῦτον ἐγκρατὴς παῖς Χοζίας,
Ἰωσαφὰτ φίλος δὲ φυλῆς Ἰούδα.

ΒΑΣΙΛΕΙΩΝ ΤΕΤΑΡΤΗ.

Ὁ Χοζίας ἔπεμψεν ἀσθενῶν τότε,
Εἰς ἀνακωχὴν τῆς νόσου πρὸς τὸν Βάαλ,
Ὃ δ' Ἠλίας εἴρηκεν αὐτὸν τεθνάναι.
Ἡ πυρπόλησις τῶν σταλέντων εἰς ὄρος.
Ἄναξ Ἰωρὰμ σύγγονος ὁ Χοζίου.
Εἰς οὐρανὸν ἄνεισιν Ἠλίας τρέχων.

Περὶ τοῦ Ἐλισσαίου.

Διπλασιάζει τὴν χάριν Ἐλισσαίῳ,
Ποσὶ περῶντι τὰς ῥοὰς Ἰορδάνου,
Οὗτος γόνιμα καὶ τὰ ῥεῖθρα δεικνύει
Τῆς Ἱεριχὼ προσβαλὼν ἅλας μέσους.
Ὑπὲρ φαλάκρας καταρᾶται παιδία,
Ἄρκτοι δὲ κατέδουσιν αὐτὰ συντόμως.
Τριττοὶ βασιλεῖς πρὸς Μωὰβ ἀνυδρίαν,
Ἐλισσαίου πρόρρησις ὕδατος, νίκης,
Μωὰβ βασιλεὺς κτιννύει τὸ παιδίον.
Ἔλαιον ἰδοὺ τῆς γυναικὸς πλημμυρον.
Ἡ Σωμανίτις σὺν γόνῳ πεφιλμένῳ.
Τὴν πικρίαν λέβητος εὐκόλως λύει.
Ἐν κριθίνοις ἄρτοις δὲ πολλοὺς ἐκτρέφει.



Λέπραν Νεεμὰν ἐν Ἰορδάνῃ ξέει.
Λεπρᾷ Γιεζῆ τοῦ χρυσοῦ δώρων χάριν,
Ἕλκει τὸ σιδήριον ἐξ Ἰορδάνου,
Τυφλοῖ στρατὸν Σύρων δὲ τοῖς ἐχθροῖς νέμει.
Λιμὸς κραταιὸς. καὶ γυνή τις εἰς κρίσιν
Παῖδα φαγεῖν ἔχουσα συντεθειμένον,
Λιμοῦ λύσις σύντομος ἐξ Ἐλισσαίου.
Λεπρῶν δέκα κίνησις, ἡ φυγὴ πάλιν,
Σῖτος διαρκὴς, τοῦ δ' ἀπιστοῦντος μόρος.
Ἄλλος λιμὸς, πάλιν δὲ πρὸς Σωμανίτην,
Καὶ θανάτου πρόρρησις ἄνακτι Σύρῳ.
Οὗ δῆτα Ζαὴλ διεδέξατο θρόνον,
Θανὼν δ' Ἰωρὰμ, καταλίπει Χοζίας,
Κτείνει τοῦτον δὲ πάλιν βασιλεὺς Ἰοὺ,
Τὴν δ' Ἰεζάβελ ἐκριφθεῖσαν κτιννύει,
Οἶκον τ' Ἀχαὰβ καὶ τὸν Βάαλ συντρίβει,
Ἰοὺ θανόντος Ἰωάχαζ εἰς μέσον.
Μετὰ Χοζίαν δ' ἡ κακὴ Γοθολία,
Ἰωδαὲ θύτης τε Χοζίου γόνον
Τὸν Ἰωὰς ἔχρισεν εἰς βασιλέα.
Ἄλλος Ἰωὰς μετὰ τὸν Ἰωάχαζ,
Ὦ, σύμβολον δέδωκεν εἰς νίκης τρόπον,
Βέλη τὰ πέντε πρὸς λόγον τῆς Συρίας,
Ἀνιστᾷ νεκρὸν καὶ θανὼν Ἐλισσαῖος,
Ἔτρεψε Σύρους Ἰωὰς πλὴν ἐκ τρίτου,
Θανὼν δ' Ἱεροβοὰμ τὸ κράτος νέμει,
Ἐφ' οὗ προφήτης Ἰωνᾶς ἦν ἐν βίῳ.
Ἄναξ δ' Ἰωὰς Ἰούδα λυπεῖ κράτος,
Ὅνπερ Ἰωὰβ ζωγρίᾳ συλλαμβάνει,
Καὶ καταπορθεῖ τὴν πόλιν οὐκ εἰς τέλος.
Ἄρχει μετ' αὐτὸν ἐκ σπορᾶς Ἀμεσσίας,
Καὶ σφάττεται δὴ τῷ ξίφει πρὸς τῷ Σύρῳ
Διάδοχος, κράτους δὲ παῖς Ἀζαρίας,
Ἐφ' ὧν Ὠσηὲ τὴν προφητείαν λέγει.
Ἀζαρίαν δ' ἔκτεινε Σελοὺμ ἀδίκως,
Ὅνπερ μεθιστᾷ Μαναὴν ἀρχῆς πάλιν,
Ἀζαρία παῖς βασιλεὺς Ἰωάθαμ,
Μεθ' ὃν κρατεῖ μάλιστα παιδίον Ἄχαζ,
Εἰδωλολατρῶν, οὐ καλῶς Θεὸν σέβων,
Ἐφ' οὗ Ῥαασσὼν, Φακεὲ Ῥομελίου,
Πρὸς τὴν Θεοῦ τρέχουσιν εἰς μάχην πόλιν,
Τὰ σκῦλα πολλὰ, καὶ πολὺς λαοῦ φόνος.
Εἶτα νικῶνται πρὸς βίας Ἀσσυρίων,
Τῶν συμμάχων Ἄχαζ τε καὶ Ἰουδαίας,
Ἐφ' οὗ προφήτης Ἠσαΐας ἦν τότε.
Θανὼν Ἄχαζ ἔλιπε τὸν Ἐζεκίαν,
Ὁ Σαλμανασὰρ τῶν Σύρων ἄναξ πάλιν,
Ἐπιστρατεύει τοῖς τόποις Σαμαρείας,
Ὠσηὲ κατάρχοντος ἐκ γένους τότε
Ἀνατρέπει σύμπαντα, πορθεῖ τὰς πόλεις,
Ζητεῖ δ' Ὠσηὲ πρὸς φίλων συμμαχίαν,
Οὐκοῦν μετοικεῖ τὴν Σαμάρειαν ὅλην
Ὁ Σαλμανασὰρ εἰς Ἀσσυρίων τόπους.
Ἐνταῦθα μέμψις Ἰσραὴλ καὶ Ἰούδα,
Πέμπει Σύρους δὲ πρὸς πόλεις Σαμαρείας.
Λέοντες αὐτοὺς δαπανῶσιν ἐνδίκως,
Μίγνυσι λοιπὸν καὶ τινὰς Σαμαρείων,
Ἱστᾷ τὸ κακὸν τῶν λεόντων ἐνθάδε.
Ἐζεκίας δ' ὢν εὐσεβὴς ἀνακρατεῖ,
Βωμοὺς καθαιρεῖ, καὶ νεὼν ἐκκαλλύνει,
Καὶ τὴν πόλιν δείκνυσιν ὡραϊσμένην.
Ὁ Σενναχηρεὶμ εἰς Θεοῦ πόλιν τρέχει,
Σφοδρὰς ἀπειλὰς ἀποτοξεύων μάτην.
Θερμὴ δέησις, ἀφανὴς συμμαχία.

SISMANOGLIO MEGARO

Νυκτὸς φόνος δ' ἄπειρος εἰς Ἀσσυρίους,
Δράσαντος αὐτὸν ἀφανῶς ἀρχαγγέλου,
Ὁ Σενναχηρεὶμ ἐκκακῶν Σαμαρείτας,
Θάπτων ὁ Τωβὴτ τοὺς νεκροὺς ἐρριμμένους,
Τύφλωσις αὐτοῦ, Ῥαφαὴλ σὺν Τωβίᾳ,
Δίδωσιν αὐτῷ τὴν χολὴν ἐξ ἰχθύος
Ἧπατος ἄκρον, τὰ προσήκοντα λέγει,
Τὸν δαίμονα βάλλει δὲ μακρὰν Τωβίας,
Καὶ φωτὸς αὐγὰς τῷ σπορεῖ Τωβὴτ νέμει,
Ἐζεκίας ἄρρωστος, αὔξησις χρόνων,
Ἀναποδισμὸς φωσφόρου τεράστιος,
Πρέσβεις Μαρωδὰχ, τῶν ἀπορρήτων θέα,
Ἐζεκίας δ' ἔλεγχος πρὸς Ἡσαΐου,
Πρίων ξύλινος καὶ μόρος Ἡσαΐου.
Μετ' Ἐζεκίαν Μανασσῆς ἄρχει γόνος
Πάντων μιαρώτατος, ἀσεβὴς λίαν,
Φαρμακὸς ἁπλῶς καὶ φονεὺς μοιχοφθόρος,
Ἀλλὰ σχεθεὶς ἔστρεψεν εἰς Θεὸν νόσῳ,
Τὸ λοιπὸν ἑξῆς εὐλαβὴ ζῇ τὸν βίον.
Ἀμνὼν γόνος δὲ δυσσεβὴς τίνει δίκας,
Ἰωσίας παῖς εὐσεβέστατος λίαν
Ὑπὲρ ἅπαντας, καὶ Θεοῦ τιμῶν νόμους,
Καὶ πάντα ποιῶν τὰ Θεῷ πεφιλμένα,
Τοῦτον Νεχαὼ βασιλεὺς Αἰγυπτίων
Τόξου βολαῖς ἤνεγκεν εἰς Ἅδου ζόφον.
Ἰωάχας παῖς, Νεχαὼ πάλιν Σύρος
Πόλιν στρατηγεῖ, καὶ τὸν Ἄχαζ ἐξάγει,
Τῷ δ' Ἐλιακεὶμ Ἰσραὴλ κράτος νέμει,
Φόρον νέμειν δ' οὖν Ἰσραὴλ κατεστάθη,
Καὶ στρατὸς ὀξὺς σὺν Ναβουχοδονόσορ,
Πορθεῖ κακῶς σύμπασαν Ἑβραίων πόλιν,
Ἄναξ τελεῖ δὲ τὸν φόρον τῷ βαρβάρῳ,
Τούτου δ' ἐπεισφρήσαντος ἐν πόλει πάλιν
Ἐκρίπτεται τάχιστα τῶν τειχῶν κάτω,
Ὁ δ' Ἰωακεὶμ, καὶ ὁ Ἰεχονίας
Σὺν Ἐσθᾶ μητρὶ τοῦ κράτους ἄνω μένει.
Ἄναξ κάκιστος ὁ Ναβουχοδονόσορ,
Ἔξεισιν Ἐσθᾶ σὺν τῷ Ἰεχονίᾳ,
Τούτους κατασχὼν εἰς Βαβυλῶνα φέρει,
Σὺν λαφύροις πλείστοις δὲ καὶ τοῖς ἐκκρίτοις,
Μεθ' ὧν Δανιὴλ, καὶ χορὸς τριῶν νέων,
Σεδεκίαν δὲ τὴν θέσιν Ματθανίαν
Ἄνακτα Σαλὴμ ἐντελῆ καθιστάνει.
Εἰκὼν, ὅραμα τοῦ Ναβουχοδονόσορ
Τὰς βασιλείας εἰκονίζουσα ξένως,
Ὁ γοῦν Δανιὴλ εὑρετὴς διακρίνων,
Τιμαὶ Δανιὴλ ὑπερεξῃρημέναι,
Καὶ θεϊκή τις Βαλτάσαρ τούτῳ θέσις.
Εἰκὼν χρυσῆ πάλιν δὲ Βαβυλωνίου,
Παῖδες νέοι τρεῖς, καμίνου δρόσος πάλιν,
Ὅρκων πρὸς ἀθέτησιν ὁ Σεδεκίας,
Ἀφίσταται γὰρ τῷ Ναβουχοδονόσορ,
Ὁ δὲ στρατεύσας πυρπολεῖ καὶ τὴν πόλιν
Καὶ βορβόρῳ χώννυσιν Ἰερεμίαν,
Σεδεκίαν δὲ συλλαβὼν ὅρκων κρίνει.
Ῥήξαντα τεῖχος εἰς φυγὴν τετραμμένον
Παίδων στερεῖ τε καὶ σβέννυσι τὰς κόρας,
Καὶ δέσμιον ἄγει δὲ τῇ Βαβυλῶνι,
Κἀκεῖ τελευτᾷ τὸν βίον καθειργμένος.
Ὁ Ναβουζαρδὰς τὸν ναὸν πυρὶ καίων,
Πολλοὺς θανατῶν, φαῦλα μυρία πράττων.
Σαλὴμ στρατηγὸς εὐγενὴς Γοδολίας,
Σὺν δ' Ἀμανίταις Ἰσμαὴλ Γοδολίαν,
Καὶ Χαλδαίοις ἔπεισι, καὶ κτείνει ξίφει.

Καὶ δὴ τ' Ἰωνᾶς σὺν στρατῷ τούτους φθάνει,
Κτείνει τε πολλοὺς, καὶ στραφεὶς σὺν τῷ ξίφει
Τῶν Ἑβραίων ἅπαντι χωρεῖ συντόνως
Πρὸς τὸν κρατοῦντα τῆς Αἰγύπτου τὸ κράτος,
Εἴδωλα λοιπὸν προσκυνοῦσιν ἐνθάδε,
Εἶτα διεφθάρησαν ἐξ Ἀσσυρίων
Σχόντων πᾶσαν Αἴγυπτον ὑστέρῳ χρόνῳ.
Ναβουχοδονόσορ δὲ λιπὼν τὸν βίον,
Οὔλῳ Μαρωδὰχ τὴν βασιλείαν νέμει,
Ὃς Ἰωακεὶμ τῆς Σαλὴμ βασιλέα
Σύσσιτον αὐτῷ καὶ σύνεδρον κτιννύει
Καθειργμένον μένοντα πολλοῖς ἐν χρόνοις.

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Α.

Θανὼν Μαρωδὰχ Βαλτάσαρ λείπει κράτος,
Δεῖπνον Βαλτάσαρ, καὶ Θεοῦ σκεύη πότῳ,
Καὶ τοῖχος ἀστράγαλος ἀνθρώπου γράφων,
Λύων Δανιὴλ τὴν γραφὴν τῶν δακτύλων,
Καὶ κτείνεται μὲν Βαλτάσαρ πρὸς Δαρείου.
Φθονούμενός τε Δανιὴλ τοῖς σατράπαις,
Λέουσιν ἀπρόσψαυστος ἀρθεὶς, τὸ ξένον,
Ἥκει δ' Ἀββακοὺμ ὑψόθεν μετηρμένος,
Ἀρχὴ τὸ λοιπὸν, ἄγγελος, ἑβδομάδες,
Στρεπτὸς Δανιὴλ, καὶ τιμὴ Μανιάκης
Ὅραμα πάλιν Δανιὴλ, τὰ θηρία,
Κρίσις Σωσάννης ἐκ χειρὸς πρεσβυτέρων.

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Β.

Μόρος Δαρείου, βασιλεὺς Πέρσης Κῦρος,
Λύσις Ἑβραίων ἔνθεν αἰχμαλωσίας,
Καὶ κώλυσις δὴ τῶν κατοικούντων πέριξ,
Πόλιν ἀνιστῶν ὡς χρεὼν καὶ τὸν δῆμον.
Μασσαγετῶν Τόμυρις φθείρει τὸν Κῦρον,
Μεθ' ὃν Καμβύσης ὁ Ναβουχοδονόσορ,
Ὃς καθελὼν ἄριστα τοὺς Αἰγυπτίους,
Πρὸς Αἰθίοπα δυστυχεῖ τὰ πρὸς μάχην.
Ἀποστατοῦσι τὸ λοιπὸν Ἰουδαῖοι,
Τὸν Ὀλοφέρνην τοιγαροῦν μετὰ κράτους,
Ἄναξ Καμβύσης ἐξάγει θράσους πλέων,
Κινεῖ κατ' αὐτῶν εἰς Γετουλᾶ τὴν πόλιν,
Οἱ δ' ἔνδον ἐκλείπουσιν ὑγροῦ τῇ σπάνει,
Αὖθις Ἰουδὴθ τεχνικῶς καταστρέφει
Τὸν Ὀλοφέρνην ἐξιοῦσα κοσμίως,
Σκηνῆς γὰρ ἔνδον συγκαθεύδουσα μόνη
Τὸ ξίφος ἐξάρασα τοῦτον κτιννύει.
Τιμαὶ τὸ λοιπὸν ἀναθήματα δόμῳ,
Τὰ δ' Ἑβραϊκὰ προσκυνῶν Ἀχιώρας.
Ὁ δ' αὖ Καμβύσης ὁ Ναβουχοδονόσορ
Ἐπεκστρατεύων κατὰ Μάγων τῶν δύο,
Θλασθεὶς πόδα τέθνηκεν ἄθλιον μόρον,
Μεθ' ὃν Δαρεῖος Ὑστάσπου κεκλημένος
Ἐκ μηχανῆς ἤρατο Περσῶν τὸ κλέος,
Εὐξάμενος δὴ τῷ Θεῷ, δοῦναι γέρας
Ἱερουσαλὴμ τὴν στάσιν καὶ χρυσίον.
Ὁ Ζοροβάβελ τὴν ὑπόσχεσιν λύει,
Τράπεζα λοιπὸν, σατραπῶν εὐωχία,
Ἐκ τοῦ πότου λέγει δὲ Δαρεῖος λόγους
Πρὸς παῖδας αὐτοῦ τοὺς πέριξ κοιμωμένους.
Ὡς δ' εὗρεν οὗτος ὁ ξένος Ζοροβάβελ
Κρατεῖν ἁπάντων τὴν ἀλήθειαν μόνην,
Πείθει Δαρεῖον ἐντελῆ ὅρκον νέμειν,
Σὺν Ἰωσεδὲκ δ' Ἰησοῦ πρεσβυτέρῳ
Σκευῶν τινὰ κάλλιστα λαβὼν τοῦ δόμου,
Γραφάς τε καὶ δύναμιν ἀκριβεστάτην,
Πέντε συνάμα τοῦ λαοῦ μυριάσιν

SISMANOGLIO MEGARO

Εἰς Ἱεροσόλυμα συντόμως φθάνει.
Βάλλουσι βάθρα τῷ νεῷ μετὰ πόνου,
Ἄλλη πάλιν κώλυσις ἐκ Σαμαρείας
Διαβαλλόντων εἰς ἀπόστασιν τάχα,
Τείχους ὀχυρότητα, καὶ στάσιν δόμου.
Γράφει Δαρεῖος τοῖς στρατηγοῖς Συρίας
Δοῦναι χρυσίον, καὶ βοήθειαν νέμειν,
Ἐγείρεται δ' οὖν καὶ ναός τε καὶ πόλις,
Θυσία, ναὸς, ἀζύμων χορηγία,
Ἐν ἱερεῦσι δ' ἦσαν ἡγεμόνοι μόνοις
Καλῶς ποθοῦντες τὴν ἀριστοκρατίαν,
Ἀσσαμοναίων ἄχρι καὶ Μακκαβαίων.

ΕΣΘΗΡ.

Μεγιστᾶνες δὴ Δαρείου, πανδαισία,
Δεῖξις γυναικὸς, ἐντροπὴ βασιλίδος,
Ὀργὴ Δαρείου, λύσις, Ἐσθὴρ εἰς μέσον
Ὄψιν ἀγαθὴ, συγγενὴς Μαρδοχαίου,
Ἐξ αἰχμαλώτων Δαρείου, δορυφόρου,
Ὅστις βασιλεῖ δόλους ἀνδρῶν μηνύει,
Κἀντεῦθεν ὕψος ἀναβὰς τιμῆς μέγα.
Ἀμὰν προάγων Ἑβραίων, τοῦτο φθόνος,
Σταυρὸν ἀνιστᾷ κατὰ τοῦ Μαρδοχαίου
Ἥκιστα τιμὴν ἀποδόντος ἀξίαν.
Κίνησις Ἐσθὴρ ὑπὲρ ἅπαντος γένους.
Πρὸς τὸν κρατοῦντα καὶ ξιφηφόροι τάχος
Δέησις οἰκτρὰ, τῆς φονουργίας λύσις,
Ἀμὰν, Δαρεῖος εἰς Ἐσθὴρ πανδαισίαν,
Νυκτός τε χάρτης, καὶ καλὸς Μαρδοχαῖος,
Σύμβουλος Ἀμὰν τῆς τιμῆς Μαρδοχαίου,
Μαρδοχαῖος ἔφιππος ἐν πορφυρίδι,
Ἀμὰν προάγων καὶ σύρων ἵππον βάδην,
Ἀμὰν πρὸς Ἐσθὴρ τῶν γονάτων ἡμμένος,
Βλέπει Δαρεῖος, ἐννοεῖ κακεργάτην,
Ἐντεῦθεν Ἀμὰν ἐν καταδίκης ξύλῳ,
Πιστὸς πατήρ τε Δαρείου Μαρδοχαῖος,
Φόνος τε πολὺς τῶν κατὰ τῶν Ἑβραίων,
Καὶ τῶν δέκα σταύρωσις Ἀμάνου γόνων.

ΕΣΔΡΑΣ ΤΟ ΠΡΩΤΟΝ.

Ὁ Δαρείου παῖς ἐγκρατὴς Περσῶν Ξέρξης
Τιμῶν μὲν φῦλον Ἑβραίων κατὰ κράτος,
Ἔσδρας φίλος μάλιστα τῶν ἄλλων πλέον,
Γράμμα κρατοῦντος εἰς ὅλην ἐπαρχίαν.
Ἔντιμος Ἔσδρας σὺν λαῷ βαρεῖ τρέχων
Εἰς Ἱεροσόλυμα τοὺς νόμους νέμει,
Θαυμάζεται μάλιστα τῶν ἔργων χάος,
Τὰς ἀλλοεθνεῖς ἐξάγει πορρωτέρω,
Ἀναγινώσκει τῷ λαῷ καὶ τοὺς νόμους,
Δάκρυα πολλὰ, καὶ λόγοι, πανδαισία,
Παραγγελία, καὶ θανὼν Ἔσδρας γέρων.

ΕΣΔΡΑΣ ΤΟ ΔΕΥΤΕΡΟΝ.

Πυνθάνεται δὲ καὶ Νεεμίας πάλιν
Τὰ κατὰ Σαλὴμ ἀρχοινοχόος Ξέρξου,
Μανθάνει κακῶς ἀπὸ τῶν πέριξ ἔχειν,
Ζητεῖ τὸν αὐτάνακτα, γραφὰς λαμβάνει,
Ἥκει τὸ τεῖχος καὶ νεὼν πληροῖ τάχος,
Καλῶς καθιστᾷ κατὰ τὸν νόμον σέβειν
Τὰς συναγωγὰς καὶ τὰ σάββατα πάλιν,
Πρὸς τὸν Ξέρξην ἄνεισιν, εἶτα πρὸς πόλιν,
Ἄριστα ποιῶν, καὶ τελευτᾷ τὸν βίον.

Βασιλεῖαι Περσῶν μέχρι Ἀλεξάνδρου.

Ἀρταβάνης δὲ Ξέρξου τὸ κράτος λύει,
Εἶτ' Ἀρταξέρξης τὴν θέσιν ὁ μακρόχειρ.
Καὶ δεύτερος Ξέρξης δὲ καὶ Σογδοάνης,
Νόθος Δαρεῖος, καὶ γόνος Ἀρταξέρξης,



Ἀρταξέρξης ἄλλος δὲ τὴν κλῆσιν Χῶος,
Ἄρσης ὁ Χώου, καὶ κτανὼν ὁ Βαγώας.
Καὶ Δαρεῖος ὕστερος ἐν Περσῶν γένει,
Ὅνπερ Μακεδὼν Ἀλέξανδρος κτιννύει.

ΒΙΒΛΙΟΝ ΜΑΚΚΑΒΑΙΩΝ.

Μετὰ δὲ ταῦτα τὶς Ἰωάννας θύτης
Χάριν τιμῆς ἔκτεινε συγγόνων ἕνα.
Βαγώας ἐκεῖν στρατηγὸς Ἀρταξέρξου
Χρόνοις ἐν ἑπτὰ συνταράσσει τὸ σίφος.
Θύτης Ἰωδὰμ ἐκ γόνων Ἰωάννα,
Ὅμαιμος αὐτῷ Μανασσῆς, ἔρις λόγων,
Σαναβαλέτης σατράπης ὁ Δαρείου
Τῷ Μανασσῇ ζεύγνυσι τὴν θυγατέρα,
Τοῦ Μανασσῇ δίωξις ἐκ Θείου δόμου
Τοῦ πενθεροῦ, βάρος δὲ καὶ βουλὴ ξένη,
Φυγὴ πρὸς αὐτὸν ταυτοπαθὼν εἰς γάμους.
Ἐν τῷ μέσῳ μόρος δὲ καὶ τοῦ Δαρείου.
Σαναβαλέτης πρόσεισιν Ἀλεξάνδρῳ,
Δίδωσιν ἀρχὴν, ἀντίχαριν λαμβάνει
Ἐν τῷ Γαριζὶν τῷ Θεῷ στῆσαι δόμον,
Ἐκεῖ τὸ λοιπὸν Μανασσῆν ποιεῖ θύτην,
Μερίσας αἰσχρῶς τοὺς λαοὺς κακοτρόπους.
Ἐκ Μακεδόνων Ἀλέξανδρος Φιλίππου
Μετ' Ἰλλυριοὺς καὶ Θρᾷκας, τὰς Ἀθήνας
Πέρσαις ἐπεστράτευσε, νικᾷ Σατράπας,
Ἀρχὴν Περσῶν σύμπασαν ἐκ Θεοῦ λύει,
Αἴγυπτον εἷλε, Συρίαν Παλαιστίνην,
Λαμπρὰν ἀνιστᾷ τὴν ἐπώνυμον πόλιν,
Τύρον κατασπᾷ καὶ Σιδωνίων χθόνα,
Λείπει δὲ τὸ ζῆν, ὡς λόγος, τῷ φαρμάκῳ.
Τέως καθιστῶν τὴν μάχην ἐπὶ Τύρον
Σύμμαχον αἰτεῖ τὴν πόλιν τῶν Ἑβραίων,
Θύτης Ἰωὰδ οὐ δίδωσιν εὐλόγως,
Μετὰ μικρὸν ἥκει δὲ σὺν παντευχίᾳ,
Ὁ γοῦν θύτης ἔξεισιν ἐστολισμένος,
Ἀλέξανδρος δὲ τὸν Θεοῦ τιμᾷ θύτην,
Πρόσεισιν ἔνδον εἰς πόλιν, εἰς τὸν δόμον,
Αἰτήματα σύμπαντα πρὸς τέλος ἄγει.
Οἱ Σαμαρεῖς ἥκουσι τῶν ἴσων χάριν,
Ἔλεγχος αὐτῶν εἰς φυγὴν κακουργίας.
Ἑλὼν δὲ πάσας Ἀλέξανδρος τὰς πόλεις,
Ἀνδρόμαχον τίθησιν ἐν Σαμαρείᾳ,
Τοῦτον Σαμαρεῖς ἐξάγουσι τοῦ βίου.
Ἀλέξανδρος δὲ τοὺς Σαμαρείτας ἄρας,
Μακεδόνας ᾤκισε τοὺς πεφιλμένους.
Μόρος Ἰωὰδ, Ὀνίας θύτης γόνος,
Μετὰ τὸν Ἀλέξανδρον εἰς τετραρχίαν
Ἀρχὴ πᾶσα τέτραπτο τοῖς μεγιστᾶσι.
Κρατεῖ δ' Αἰγύπτου Πτολεμαῖος ὁ Λάγος,
Ἐν σαββάτῳ δὲ τὴν πόλιν τῶν Ἑβραίων
Πορθεῖ προφανῶς, καὶ πρὸς Αἴγυπτον τρέχει
Μετὰ δ' ἐκεῖνον καὶ Φιλάδελφος γόνος,
Μεταφράσας ἄριστα βίβλους Ἑβραίων,
Φαληρεὺς Δημήτριος σὺν Ἀριστέᾳ,
Λύσις δι' αὐτῶν Ἑβραίων ἀνδραπόδων.
Μετὰ δ' Ὀνίαν καὶ Σίμων Ἐλεάζαρ,
Πρὸς Ἀντιόχου καὶ κάκωσις Ἑβραίων.
Καταστρατηγήσαντος τὸν Πτολεμαῖον.
Πτολεμαίου παῖς Ἐπιφανὴς τὴν θέσιν
Μετὰ στρατοῦ κάτεισιν ἐν Παλαιστίνῃ,
Αὐτῷ τὸ λοιπὸν προστρέχουσιν Ἑβραῖοι,
Πάλιν πρὸς Ἀντίοχον ἐξ ἐναντίου.
Ἀντιόχου παῖς καὶ γυνὴ Πτολεμαίου,
Κῆδος θυγατρὸς, προὶξ Παλαιστίνης ὅροι,

Καὶ Πτολεμαῖος τὴν Θεοῦ κρατεῖ πόλιν.
Μετ' Ἐλεάζαρ Μανασσῆς Θεῷ θύων,
Ἔπειτ' Ὀνίας Σίμωνος φίλος γόνος.
Τὸν δασμὸν αἰτεῖ κατ' ἔθνος Πτολεμαῖος,
Ὁ δ' Ὀνίας δίδωσιν ἥκιστα φόρον,
Ὀργίζεται, πρόσεισιν Ἰωσὴφ φίλος,
Λαμπρῶς τιμᾶται καὶ τελωνεῖ κοσμίως.
Πτολεμαίῳ παῖς, καὶ γενέθλια, φίλοι.
Ἄνεισιν ὁ παῖς Ἰωσὴφ νέμων χάριν,
Ὑρκανὸς αὐτὸς χάριν ἀρίστην φέρων,
Πρὸς συγγόνων ἔνεδρα, καὶ τούτου μόρος.
Ἐπιφανοῦς τε μόρος τοῦ Πτολεμαίου,
Πάλιν ὁ Ἀντίοχος εἰς Θεοῦ πόλιν,
Θύτης Ἰησοῦς καὶ Μενέλαος πάλιν.
Θυτῶν δύο στάσις τις ἐνθάδε ξένη,
Φυγὰς ὁ Μενέλαος ἐπ' Ἀντιόχῳ,
Πρόσεισιν Ἀντίοχος, πορθεῖ τὴν πόλιν,
Τὸν πλοῦτον αὐτῆς ἐκφορεῖ, καταστρέφει,
Νόμους προλιπεῖν ἐκβιάζει πατρίους,
Κυροῖ πάντας Ἕλληνα μιμεῖσθαι βίον:
Τότ' Ἐλεάζαρ καὶ σοφοὶ Μακκαβαῖοι
Ὡς ἀνδρικῶς ἔστησαν ὑπὲρ τοῦ νόμου,
Ἀσαμωναῖοι σὺν πατρὶ τῷ Ματθίᾳ,
Θῦσαι κελευσθέν, Ἀπελλῆν δόντες φόνῳ
Πρὸς τὴν ἔρημον ἐκτρέχουσιν αὐτίκα,
Μεθ' ὧν μυρίων ἀποφεύγουσι ξίφος
Ἐν σαββάτῳ μάχη δὲ, φυγάδων νίκη,
Ἀνατροπὴ συμπάντων ἐν τῷ σαββάτῳ.
Μετὰ Ματθίαν Σίμων ὁ Μακκαβαῖος
Στίφους κατάρχει τοῦ φιλοῦντος τὸν νόμον,
Κτείνει τε πολλοὺς συμβαλὼν αἰφνιδίως
Τῶν ὑπασπιστῶν ἀνδρικῶς Ἀντιόχου,

Καὶ δὴ τὸν ναὸν ἐκκαθαίρει συντόμως,
Καὶ πάντα ποιεῖ πρὸς τὸ βέλτιον τρέπων.
Ὁ δ' Ἀντίοχος ἐκμαθὼν ἀποψύχει.
Καὶ μικρὸς Ἀντίοχος σὺν τῷ Λυσίᾳ
Σπονδαῖς πόλιν εἴσεισιν τὴν Θεοῦ τότε,
Ἐξ ἐλέφαντος Ἐλεαζάρου μόρος.
Καὶ φθείρεται Φίλιππος ἐξ Ἀντιόχου.
Ἄλκιμος θύτης, καὶ φυγάς δε Ὀνίας
Ἀνιστὰς εἰς γῆν τῶν Αἰγυπτίων δόμων.
Τὸν Ἀντίοχον Λυσίας κτείνει πάλιν,
Ὁ Δημήτριος Σελεύκου τὸ παιδίον.
Ἄλκιμος κινεῖ πρὸς Μακκαβαῖον λόγους,
Καὶ Βακχίδης ἥκει δὲ πρὸς Δημήτριον
Πράξων κακὸν τάχιστα τῷ Μακκαβαίῳ,
Ἀλλὰ πρὸς Ἀντίοχον ἐστράφη μάτην.
Καὶ Νικάνωρ κάτεισι σὺν δόλῳ πάλιν
Μάχης δὲ πολλῆς συρραγείσης ἐν πόλει,
Πίπτει Νικάνωρ σὺν λαοῦ πολλῷ ξίφει,
Ὁ δ' αὖ λαὸς δίδωσι τῷ Μακκαβαίῳ
Γέρας τὸ λαμπρὸν τῆς ἀρχιερωσύνης.
Πάλιν Βακχίδης ἐμπεσὼν Μακκαβαίῳ
Κτείνει τὸν ἄνδρα δραστικώτατον φύσει,
Καὶ τὸ κράτος δίδωσι τοῖς ἐναντίοις.
Στρατὸς Ἰούδα τοῦ καλοῦ Μακκαβαίου,
Ἰωνάθαν ὅμαιμον αἱροῦνται κράτει,
Τούτου δὲ μάχη, σύρρηξις ἐν Βακχίδι,
Νικᾷ μὲν οὐδεὶς, Ἰωνάθης εἰς ὄρος,
Ὁ δ' αὖ Βακχίδης πρὸς Δημήτριον τρέχει.
Πάλιν Βακχίδης πρὸς μάχην Ἰωνάθῃ
Ἀλλὰ νικηθεὶς ἀφορᾷ πρὸς συμβάσεις
Καὶ πρὸς τὸν Δημήτριον αὖθις ἐκτρέχει,
Μάχη πρὸς Δημήτριον ἐξ Ἀλεξάνδρου,

Ἐπιφανοῦς γόνου δὲ τοῦ Πτολεμαίου
Ἰωνάθης σύμμαχος ἐν Δημητρίῳ.
Εἶτα πρὸς Ἀλέξανδρον αἱρεῖ φιλίαν,
Δημητρίου θάνατος ἀπὸ τελμάτων.
Φιλοπάτορος θανόντος Πτολεμαίου,
Εὐεργέτης κατεῖρξεν ὁ Πτολεμαῖος.
Ἀλέξανδρος τούτου δὲ τὴν κόρην ἄγει,
Οἷς φιλίαν δίδωσιν ὁ Ἰωνάθης.
Ἧκει δὲ Δημήτριος παῖς Δημητρίου
Ἄρχει Συρίας πατρικῶν τ' ἄλλων τόπων.
Ἀλεξάνδρου δὲ πενθερὸς Πτολεμαῖος
Τέχνῃ μετελθὼν τὸν Ἀλέξανδρον δόλῳ,
Δημητρίῳ δίδωσι τὴν θυγατέρα,
Καὶ βασιλείας Ἀλεξάνδρου τῶν τόπων,
Ἀλεξάνδρου θάνατος καὶ Πτολεμαίου.
Στάσις πρὸς Δημήτριον Ἀντιοχέων,
Λαμπρὸς βοηθὸς καὶ φίλος Ἰωνάθης.
Φιλίαν αἰτῶν, καὶ πρὸς αὐτὴν τὴν Ῥώμην
Ὀρφανὸς Ἀντίοχος παῖς Ἀλεξάνδρου
Σὺν Τρύφωνι κάτεισιν ἐκ τῶν Ἀράβων.
Θόρυβος ἔνθεν ταραχὴ Δημητρίῳ,
Ὁ Δημήτριος εἰς Ἄραβας ἐκτρέχει,
Ληφθεὶς δὲ τίνει δίκας ἀθλίως τάλας.

Τρύφων τὸν Ἀντίοχον ἐκτεμεῖν θέλων,
Ἦν ὡς ἀληθῶς δειλιῶν Ἰωνάθην,
Καὶ δῆτα συσχὼν τὸν Ἰωνάθην δόλῳ
Κάτεισιν εὐθὺς εἰς Ἰουδαίας τόπους,
Καὶ τὸν Σίμωνα τὸν γόνον Ἰωνάθου
Ἤτει τάλαντα δῆθεν ὡς χρέους δόσιν.
Σίμων δίδωσι μέμψιν ὡς ὑπεκκλίνων,
Κτείνει δὲ λαβὼν καὶ πάλιν Ἰωνάθην.
Δημητρίου παῖς Ἀντίοχος Σιδίτης
Κρατεῖ Συρίας προσφιλὴς Ἰουδαίοις.
Ὅμαιμος Ἀντίοχος τοῦ Δημητρίου
Πρὸς Κλεοπάτραν σύζυγον Δημητρίου
Φεύγει, Τρύφων δ' ἔπειτα πρὸς Ὀρθωσίαν
Καὶ πυρποληθεὶς τὸν βίον καταστρέφει.
Σπονδὰς λύει Σίμωνος ἄναξ Σιδίτης,
Καὶ Κενδεβαῖος ἐκστρατεύει πρὸς πόλιν,
Νικᾷ δὲ τοῦτον Σίμωνος Ἰωνάθης.
Πρὸς Πτολεμαίου κτείνεται Σίμων δόλῳ,
Ὃς Ἀβούβου κέκλητο λαμπρὸς τυγχάνων;
Ὁ Σίμωνος παῖς Ὑρκανὸς, Ἰωνάθης
Πρὸς Πτολεμαῖον ἐκστρατεύει σὺν τάχει!
Ὁ δὲ κτανὼν Σίμωνος ἀδελφοὺς ξίφει
Πρὸς Κοτυλᾶν τύραννον εὐθὺς ἐκτρέχει!

ΜΕΧΡΙ ΤΟΥΤΩΝ ΠΕΡΙΕΧΕΙ Η ΘΕΙΑ ΓΡΑΦΗ ΤΑ ΔΕ
ἑξῆς μέχρι Χριστοῦ καὶ αὐτῆς ἁλώσεως Ἱερουσαλὴμ, ὁ Ἰώσηπος
ἱστορεῖ, ἅπερ ὡς λυσιτελῆ τούτοις ἐπισυνάπτομεν.

Ὁ δ' Ἀντίοχος ἀδελφὸς Δημητρίου
Μετὰ μάχην τε καὶ κάκωσιν μυρίαν
Σπονδὰς τελῶν εἴσεισι τὴν Θεοῦ πόλιν.

Εἶτα πρὸς αὐτοὺς ἐκστρατεύει τοὺς Πάρθους
Μετ' Ἀντιόχου συμβαλεῖν πρὸς Ἀρσάκην.
Καὶ κτείνεται μὲν Ἀντίοχος ἐν μάχῃ

Πολλὰς Ὑρκανὸς ὑποποιεῖται πόλεις
Λυθεὶς δὲ Δημήτριος ἄρχει τῶν Σύρων,
Σύροι δὲ πρὸς Φύκωνος τοῦ Πτολεμαίου
Σεβινᾶν Ἀλέξανδρον αἱροῦνται κράτει,
Ὅστις τὸν Δημήτριον ἀρχῆς ἐξάγει,
Στάντος δὲ μακρὰν συζύγου Κλεοπάτρας
Πλεῖστα παθὼν τέθνηκεν ἀθλίῳ μόρῳ.
Ὁ γρυπὸς Ἀντίοχος παῖς Δημητρίου
Συστὰς πρὸς Ἀλέξανδρον ἐξάγει μέσου,
Χρόνοις τε πολλοῖς ἦρξε Συρίας πάσης.
Ὁ δ' Ἀντίοχος Κυζικηνὸς τὴν θέσιν,
Ἀντιόχου παῖς συγγόνου Δημητρίου
Περὶ κράτος ἤρατο τῷ γρυπῷ μάχην,
Μικρὸν δὲ παυθεὶς Ὑρκανὸς ἐκ τῆς μάχης,
Τελῶν φόρους ἤνεγκεν ἀδρὸν χρυσίον.
Ὁ Κυζικηνὸς τῶν Σαμαρέων χάριν
Ὑρκανοῦ παισὶ συγκροτῶν μάχην ξυνήν.
Θύων δ' Ὑρκανὸς καθορᾷ κίνης κράτος,
Ὃ πεσὸν ἐβράβευσεν, ἡ μάχης κρίσις,
Σύγχυσις ὧδε φιλίας Φαρισσαίων,
Θνήσκων δ' Ὑρκανὸς τῷ γόνῳ κράτος νέμει
Ἀριστοβούλῳ βασιλεῖ πρῶτον μόνῳ,
Ὃς τοῦ γόνους ἔφθειρε τὸ πλεῖστον μέρος,
Μεθ' ὃν ἀδελφὸν Ἀντίγονον ὕστερως.
Ἐν τῷ Στράτωνος ὡς προπέτις βέβλος.
Αὐτὸς δὲ ῥαγεὶς τὴν ψυχὴν ἐμεῖ πάλιν.
Γανναῖος σύγγονος τὸ κράτος φέρει,
Πολλὰ δὲ δεινὰ τοῖς Ἰουδαίοις δράσας.
Κλεοπάτρα πρόσεισι τῇ καὶ Σελίνῃ
Μάχας ἐχούσῃ πρὸς γόνον Πτολεμαίου.
Ὃς Ἰανναίῳ συμπλακεὶς τὰ πρὸς μάχην
Κατὰ κράτος τέθεικε κατῃσχυμμένον

Καὶ τὴν πόλιν εἴσεισι Πτολεμαΐδα,
Καὶ τὴν Ἀλεξάνδρειαν αὖθις λαμβάνει,
Τῆς Κλεοπάτρας ἐκλιπούσης εἰς χρόνον,
Ὡς Ἰανναίῳ ἐγκαταστήσῃ θρόνῳ,
Ὁ Κυζικηνὸς τὸν γρυπὸν καταστρέφει.
Τὸν δ' αὖ Σέλευκος ὁ γρυποῦ πάλιν γόνος
Ἐξοστρακίζει τοῦ κράτους πορρωτέρου.
Ὁ Κυζικηνὸς τὸν Σέλευκον λαμβάνει,
Καὶ τῷ πυρὶ δίδωσιν εἰς τέλος φλόγα.
Τούτῳ συνίστων ἀκρατῶς πάλιν μάχην
Γόνοι τοῦ γρυποῦ σύγγονοι τοῦ Σελεύκου.
Ἄγει τὸν Ἀλέξανδρον ἡ Κλεοπάτρα.
Καὶ φαρμάκῳ πέφθαρτο δηλητηρίῳ.
Διώκεται γοῦν Ἀλέξανδρος αὐτίκα.
Καὶ Πτολεμαίου τὸ κράτος βλέπει πάλιν.
Γανναῖος δὲ τὴν Σαμάρειαν τέλος
Πορθεῖ πρὸ παντὸς, καὶ σαφῶς καταστρέφει.
Μετὰ δὲ μόρον τοῦ νέου Πτολεμαίου
Κατῆρξεν Ἀλέξανδρος ἐν βραχυγόνῳ,
Καὶ τὴν ἀδελφὴν ἐκτεμὼν Κλεοπάτραν
Πρὸς τοῦ ξίφους ἤνεγκεν ἄθλιον μόρον,
Μεθ' ὃν κρατεῖ μάλιστα παῖς Φιλομήτωρ
Ὁ Φιλάδελφος καὶ νέος Πτολεμαῖος.
Ὁ δ' Ἀρμένιος Τιγράνης Παρθυαῖος
Πάρθων ἀποστὰς οὐ βραχεῖ κρατῶν τόπῳ.
Ἤλασε δ' ἐς γῆν Φοινίκης καὶ Συρίας
Ὁ κλῆσιν Διόνυσος ἐκ Πτολεμαίων,
Οὗτος μάχην ἤγειρε πρὸς Ἰουδαίους,
Οὗ καὶ θανόντος Συρίας ἄρχει κράτους
Ἀρέτας, ὃς χείριστον ἀνταίρει μάχην
Πρὸς Ἰουδαίους, καὶ πάλιν ὑποστρέφει
Πρὸς παῖδα γρυποῦ καθιστᾷ τὰ πρὸς μάχην

SISMANOGLIO MEGARO



Ὁ Ἰανναῖος καὶ νικᾷ κατακράτος,
Ἰτουραίαν δὲ προσβαλὼν λείπει βίον.
Ἀφεὶς γυναικὶ τῇ Σελίνῃ τὸ κράτος
Σὺν παισὶ διπλοῖς ἁπαλοῖς καὶ νηπίοις.
Καὶ Μάρκιος Ῥὴξ Συρίαν φθάνει τότε,
Σταλεὶς στρατηγὸς ἐκ παλαιτέρας Ῥώμης.
Γανναίου παῖς Ὑρκανὸς ἄναξ νέος,
Ὁ δ' αὖ Ἀριστόβουλος ἱερεὺς πάλιν.
Δραστήριος δ' ὢν Ἀριστόβουλος τρόπους,
Σύμπαν τὸ κράτος ἀναδύεται μόνος,
Τὸν δ' Ὑρκανὸν ἤργησεν ὡς εὐμηχάνως.
Ὁ δ' αὖ φυγὰς κάτεισι πρὸς τὸν Ἀρέταν
Σὺν Ἀντιπάτρῳ τῷ πάλαι πεφιλημένῳ
Καὶ πρὸς μάχην ἥκουσιν Ἀριστοβούλῳ.
Αὖθις δ' Ἀριστόβουλος Σκαύρῳ προστρέχει,
Ὃν δῆτα Πομπήϊος στρατηγὸς Ῥώμης
Ἐπιβλέπειν ἔταξε τὴν Παλαιστίνην,
Οὗτος Ἀρέταν ὑποθήκαις ἐκτρέπει.
Πάλιν Ὑρκανὸς σὺν Ἀντιπάτρῳ φίλῳ
Πρὸς Πομπήϊον στρατηγὸν ἀνατρέχει.
Στέλλει Γαβίνιον αὐτίκα Πομπήϊος
Ὑπὲρ Ὑρκανοῦ πρὸς Ἰουδαίων πόλιν,
Οὐκ εἰσδέχονται τὸν Γαβήνιον λόγοις.
Ἥκει δ' ὁ Πομπήϊος ὕστερον πνέων
Στρατῷ βαρεῖ μάλιστα, καὶ τρέπει λίαν
Ἀριστοβούλῳ παριδὼν χρυσοῦ χύσιν.
Σφάττει, θερίζει συμπλακεὶς πολλοὺς μάχῃ
Καὶ τὸν Ἀριστόβουλον ἔμπνουν λαμβάνει,
Ὑρκανῷ τὸ πᾶν δ' ἀνατίθησι κράτος
Ἄνακτα δεικνὺς καὶ θύτην καταχρέως,
Ἀντιπάτρῳ δὲ τὴν Παλαιστίνην νέμει
Ἐπιμελητὴν ἀναδείξας πραγμάτων.

Αὐτὸν δ' Ἀριστόβουλον σὺν δυσὶ γόνοις
Λαβὼν ὁ Πομπήϊος ἐκπλεῖ πρὸς Ῥώμην.
Τοῦτον δὲ σαφῶς τὸν τρόπον Ἰουδαῖοι,
Πρὸς Ῥωμαίων ἤρχθησαν ἐξ ἀβουλίας.
Φυγὰς τὸ λοιπὸν Ἀλέξανδρος ἐνθάδε
Πρὸς Ἰουδαίαν Ἀριστοβούλου γόνος.
Ὅστις Ὑρκανὸν τοῦ κράτους ὑπεξάγει.
Αὖθις δὲ φεύγει προσβαλὼν Ἀντωνίῳ
Καὶ πρὸς Ῥώμην ἄγεται δέσμιος πάλιν.
Εἶτα δ' Ἀριστόβουλος σὺν Ἀντιγόνῳ
Φεύγουσιν ἅμα, συγκροτοῦσι καὶ μάχῃ.
Πλὴν ἀλλ' Ἀριστόβουλος πρὸς Ἀντώνιον,
Θνήσκει προφανῶς ὡς σταλεὶς Πομπηΐῳ,
Φυγὰς δ' ὁ Ἀντίγονος ἐν Πάρθων κράτει,
Ἥτταν δ' ὑποστάντος δὲ Ῥωμαίων κράτους,
Ἀποστατοῦσιν Ὑρκανοῦ καὶ τὰ ξίφη.
Ὁ Κάσσιος δ' οὖν ἐγκαθιστᾷ πρὸς λόγον
Συλῶν τὸν νεὼν Ὑρκανοῦ δῆθεν χάριν.
Κάτεισιν Ἀντίγονος σὺν Πάρθοις μόνοις,
Τοῦτον δὲ Γαβίνιος ὡς πορρωτέρω
Τίθησιν εὐθὺς ἐκτοσὶ Γαβυρίου.
Καῖσαρ μονάρχης, θάνατος Πομπηΐου,
Βοηθὸς Ἀντίπατρος ἐν πᾶσι τρόποις
Ἀρχὴν βεβαιοῖ σὺν Ὑρκανῷ τῷ φίλῳ.
Πρόσεισιν Ἀντίγονος Καίσαρι πάλιν.
Ὁ δ' Ἀντίπατρος ἐμποδὼν τούτῳ μόνον
Υἱοὺς στρατηγοὺς Ἀντίπατρος δεικνύει,
Μέγαν Ἡρώδην καὶ Φασάηλον λέγω.
Γογγυσμὸς ἔνθεν τοῦ ξίφους Ἰουδαίων
Τὸ τυραννικὸν εὐλαβουμένων τάχα.
Κρίσις Ὑρκανοῦ σὺν χάριτι καὶ δόλῳ,
Κατηγορούντων Ἡρώδην τῶν Ἑβραίων.

Καῖσαρ ἀδελφὸν Κλεοπάτρας ἐξάγει
Τὸν Πτολεμαῖον τοῦ κράτους Αἰγυπτίων.
Μόνῃ δὲ ταύτῃ τὴν ἀρχὴν πᾶσαν νέμει,
Ἀναίρεσις Καίσαρος ἐν μέσῳ πάλιν.
Κάτεισιν Ἀντίγονος ἐν μάχης κράτει.
Μάλιχος Ἀντίπατρον ἐξάγει βίου
Ἐν φαρμάκῳ μάλιστα; τῷ δ' αὖ Ἡρώδῃ
Δίδωσιν ἀρχὴν Ὑρκανὸς Ἀντιπάτρου,
Καὶ πλείονα δοὺς πατρικῆς ἑταιρείας.
Ὅστις ἐπαρθεὶς κατὰ μικρὸν τῷ κράτει,
Ἀφηνιάζων εἰς ἀπόστασιν βλέπει,
Ἐς φιλίαν δὲ τοῖς κρατοῦσιν ἐν Ῥώμῃ
Καθίσταται μάλιστα σαίνων ἐκθύμως,
Ἀριστοβούλῳ Μαριάμνην τὴν κόρην.
Τὴν ἀδελφιδὴν Ὑρκανοῦ λαβὼν γάμῳ.
Ὁ Καῖσαρ Ἰούλιος Γάϊος πάλιν
Ἐν τῇ Ῥώμῃ μόναρχος αἱρεῖται κράτωρ.
Στρατηγὸς Ἀντώνιος Ἀσίας πάσης.
Κατηγοροῦσιν Ἡρώδου σύμπαν γένος,
Κόλαξ Ἡρώδης, καὶ μόρος κατηγόρων,
Πάλιν πρὸς ἀρχὴν, καὶ κίνησις τοῦ ξίφους
Ἔκβλητος αὐτὸς σὺν Ὑρκανῷ τῷ φίλῳ
Μάχη κραταιά, καὶ πρὸς τὸ κράτος πάλιν
Κάτεισιν Ἀντίγονος ἅμα Πακόρῳ.
Φυγὰς Ἡρώδης, θάνατος Φασαήλου.
Ζῶντα δ' Ὑρκανὸν Ἀντίγονος λαμβάνει
Πάρθοις δίδωσι, λωβᾶται δὲ τὰ μέλη,
Αὐτὸς δ' ἀνεζώσατο τὸ κράτος μόνος.
Μάλχῳ πρόσεισιν Ἡρώδης Ἀραβίῳ.
Ἥκιστα προσδέδεκτο τῷ Πάρθων φόβῳ.
Πρὸς τὴν Ἀλεξάνδρειαν οὖν ἐκτρέχει
Πρὸς κρίσιν εἰς Αἴγυπτον. ἡ Κλεοπάτρα
Παρ' Ἀντώνιον καὶ συνάφεια γάμου
Μεθ' ἧς Ἡρώδης καὶ γραφαῖς Ἀντωνίου
Πρὸς τὸν Καίσαρα καὶ Ῥώμην καταπλέει.
Ψηφίζεται δ' οὖν τῶν Ἰουδαίων κράτωρ,
Σὺν Σοσίῳ κάτεισι τῷ στρατηγέτῃ,
Μετὰ χρόνον δὲ τριετῆ πορθεῖ πόλιν.
Τὸν δ' Ἀντίγονον ζῶντα λαβὼν ἀθύμως
Ἀντωνίῳ δίδωσι πέμπειν εἰς Ῥώμην.
Δώροις φθαρεὶς δὲ τοῦτον ἐκτέμνει ξίφει.
Καὶ πολλὰς ἐκδίδωσιν Ἡρώδης πόλεις
Γῆν Συρίαν νέμει δὲ τῇ Κλεοπάτρᾳ.
Ἀντώνιος δὲ κατὰ τῶν Πάρθων τρέχων,
Συνάμα πολλαῖς τοῦ στρατοῦ μυριάσιν
Ἥττητο πάμπαν τοῦ στρατοῦ τὸ πᾶν τεῖχος.
Ὑρκανὸς ἐπάνεισιν ἐκ Πάρθων πάλιν.
Λαμπρῶς τιμᾶται πρὸς κόλακος Ἡρώδου
Καὶ κτείνεται δὲ συρραφαῖς τισι δόλου.
Θύτης Ἰαὴλ ἐξ ἀσήμου τοῦ γένους,
Εἶτ' Ἀλεξάνδρας παιδίον ἐξ εἰκόνων.
Ἀντωνίου φόβῳ τε καὶ Κλεοπάτρας
Βούλευμα φυγῆς Ἀλεξάνδρας σὺν γόνῳ.
Ἀριστοβούλου πνιγμονὴ πρὸς Ἡρώδου.
Ἥκει πρὸς Ἀντώνιον Ἡρώδης τάχος
Ἀριστοβούλου πνιγμονῆς δώσων λόγους.
Θεῖός τ' Ἰωσὴφ, Μαριάμνης οἱ λόγοι:
Κατέρχεται πάλιν δὲ λαμπρὸς Ἡρώδης,
Ἔκπυστα μυστήρια, ζηλοτυπία
Ἄδικος ὄντως Ἰωσὴφ ἰδοὺ μόρος.
Κλεοπάτρας ἔρωτες ὡς πρὸς Ἡρώδην
Δεινὰ δὲ πολλὰ τὴν Ἰουδαίαν φθάνει.
Ἀντωνίῳ δ' ἥκιστα πρὸς Ῥώμης κράτος
Ἐλθεῖν θελητὸν τῶν Πάρθων ἥττης χάριν



Ἥκει τὸ λοιπὸν ὁ Καῖσαρ ἐξ Ἑσπέρας,
Συρρήγνυται μάχη δὲ καὶ ναυμαχία,
Ἡττᾶτο δ' Ἀντώνιος ὤθων εἰς τέλος.
Τῷ φαρμάκῳ θνήσκει δὲ καὶ Κλεοπάτρα,
Ὁ δ' Ἀντώνιος αὐτόχειρ πόρρω βίου.
Ἐνταῦθ' Ἡρώδης καὶ γραφὰς στέλλει δύο
Δόλῳ κελεύσας τῷ νικήσαντι νέμειν,
Ἥσθη νικήσας καὶ λαβὼν ταύτας Καῖσαρ,
Εὔνους πρὸ πάντων Ἡρώδης διεκρίθη,
Καὶ Καίσαρι πρόσεισιν ἐν τοῖς ὑστέροις.
Λαμπρῶς τιμᾶται καὶ σεβάζεται πλέον
Σόεμος ἀπόρρητα γυναικὸς χάριν.
Ἡρώδης δ' ἐπάνεισιν εἰς τὴν οἰκίαν,
Ἐρᾷ γυναικὸς Μαριὰμ δ' ἐντρυφᾷ,
Ἐντεῦθεν αὐτὸς ζηλοτυπίας μῖσος,
Κατὰ Μαριὰμ Σαλώμη πρὸς Ἡρώδην,
Ψευδὴς λόγος, φάρμακον ἐξ οἰνοχόου,
Μυστηρίων ἔκφανσις, Σοέμου μόρος.
Κατὰ Μαριὰμ ἡ κρίσις καὶ τὸ ξίφος.
Νοσῶν Ἡρώδης ἐξ ἐρώτων συμβίου.
Μητρὸς Μαριὰμ τῆς Ἀλεξάνδρας μόρος.
Ἐντεῦθεν εἰς ἅπαντα δεινὸς Ἡρώδης,
Ἔξιν φθαρεὶς μάλιστα καὶ φόνον πνέων,
Ὁρμὴ κατ' αὐτοῦ, τοῦ δόλου τιμωρία,
Λιμὸς δαπανῶν καὶ ποικιλία νόσων.
Λιμοῦ παραμύθιον Ἡρώδης μέγα,
Τέμνων τὰ παράστημα καὶ πτωχοῖς νέμων,
Ὁ πρὶν δ' ἀπεχθὴς εὐμενὴς λελεγμένος,
Ἐρᾷ γυναικὸς τοῦ Σίμωνος τῆς κόρης.
Ἄγει παρ' αὐτὸν καὶ πατὴρ Σίμων θύτης
Ἰησοῦν τὸν Φάβητον ἀργὸν δεικνύων.
Πολλά τε πράσσων οὐ καλῶς παρὰ νόμον,
Πόλεις, δόμους ἔκτιζε καὶ στήλας πάλιν
Εἰς χάριν ἁπλῶς τῶν κρατούντων ἐν Ῥώμῃ.
Στέλλει δ' ἐκεῖσε καὶ τοὺς γόνους πρὸς χάριν,
Ἀεὶ τὰ χείρω προστιθεὶς Ἰουδαίοις,
Τὸν Μαναῒν δὲ καὶ Πολίωνα μόνους
Τιμῶν ὑπῆρχε τῆς προφητείας χάριν.
Τὸν δ' αὖ γε ναὸν καθελὼν καὶ πυθμένα
Λαμπρὸν καθιστᾷ κατακοσμήσας λίαν.
Εἶτα νόμον τίθησι τοῖς τοιχωρύχοις.
Ἄπεισι πρὸς Καίσαρα πάλιν Ἡρώδης,
Καὶ τοὺς γόνους δὲ φέρει πρὸς τὴν πατρίδα,
Γυναιξί τε ζεύγνυσιν, αὖθις Σαλώμη
Διαβολῆς τε τῆς κινησάσης χάριν,
Ὡς Ἡρώδην μέλλουσιν ἐκθεῖναι μέσον.
Ἐντεῦθεν Ἀντίπατρος Ἡρώδου γόνος
Εὔνους, ἀγαθός. οἱ δ' ἀπωσμένοι λίαν,
Σταλεὶς δ' ἄνεισιν Ἀντίπατρος εἰς Ῥώμην,
Γράφει τε πολλὰ πατρὶ κατὰ συγγόνων,
Πείθει δὲ τοῦτον ἀφικέσθαι πρὸς Ῥώμην,
Ἀνέρχεται γοῦν προσλαβὼν καὶ τοὺς γόνους.
Καῖσαρ δικάζει καὶ σκεδάζει τὴν μάχην,
Καὶ παῖδες αὐτῷ προσφιλεῖς κατὰ κράτος,
Φιλόκαλος δ' ὢν καὶ φιλῶν δόξαν πλέον
Πολλοὺς ἐκάκου τῶν φίλων καὶ γνησίων.
Τοῖς δ' ἐκτὸς ἡδύς, καὶ χρυσὸν πολὺν ῥέων,
Ἀνοίγνυσι δὲ καὶ τοῦ Δαβὶδ τὸν τάφον,
Καὶ κόσμον εὑρὼν οὐ βραχύ τι λαμβάνει,
Ἐντεῦθεν ἐμφύλιος κάτοικος μάχη.
Πάλιν ὁ Ἀντίπατρος καθ' ὁμογνίων,
Ὁ δ' Ἡρώδης ἤγεετο κατὰ Φερώρα,
Ὅτι θυγατρὸς τοὺς γάμους ἀπηξίου
Ἡ Σαλώμη, πάλιν δὲ ῥάπτει τοὺς δόλους.

Ἀλέξανδρος ἄνεισι κατὰ Φερώρα.
Καὶ Σαλώμη πρόφασις ἰδοὺ τοῖς λόγοις.
Ποιναὶ διαρκεῖς αὖθις εὐνούχων φίλων,
Δέσμιος Ἀλέξανδρος, εὕρεσις λόγων,
Ἐτασμὸς ἄκρος, καὶ τὸ φάρμακον τέλος.
Πρὸς πατέρα δ' ἔγραψεν εἰδέναι λέγων
Ἀλέξανδρος ἅπαντα τῆς κακουργίας.
Καὶ λύεται δὴ τοῖς λόγοις Ἀρχελάου.
Ἀντίπατρος δὲ προσλαβὼν Εὐρυκλέα,
Πάλιν ἀνάπτει τῷ πατρὶ τὰ τοῦ μίσους,
Καὶ βάσανα δὴ τῶν φυλάκων Ἡρώδου,
Δεσμὰ τῶν γόνων Ἡρώδου πάλιν δύο,
Καὶ γράμμασι Καίσαρι πάντα μηνύει,
Ὁ δ' αὖ τὸ πᾶν τίθησιν αὐτῷ καὶ κρίσιν.
Ἰδοὺ τὸ κριτήριον ἡ καταδίκη,
Παῤῥησία Τήρωνος εἰς βασιλέα,
Κατήγορος τύραννος, κουρεὺς ὁ Τρύφων
Ἐτασμὸς αὐτῶν, καὶ σαφὴς δόλου λόγος.
Ἐντεῦθεν οὖν Ἡρώδης καὶ τοὺς γόνους
Ἀπαγχονίζει, καὶ συνδρόμους λιθάζει,
Γεννᾷ δ' Ἡρώδης Ἡρώδην πάλιν γόνον
Ἐκ τῆς θυγατρὸς τοῦ Σίμωνος ὑστέρως.
Φίλοι Φερώρας Ἀντίπατρος ἐνθάδε,
Ἐναντία δὲ Σαλώμη τούτοις πάλιν,
Πρὸς τὴν δάμαρτα Φερώρα Φαρισαῖοι.
Ὁ Φερώρας ὕποπτος εἰς τετραρχίαν,
Ἀντίπατρος δὲ πρὸς τὴν Ῥώμην ἐκτρέχει.
Μόνος Φερώρα, τὰ κακὰ δ' Ἀντιπάτρῳ.
Κατηγορίαι προφανεῖς Ἀντιπάτρου.
Ἄνεισιν Ἀντίπατρος ἀπὸ τῆς Ῥώμης,
Οὔαρος αὐτὸν ἀτιμάζει τοῖς λόγοις.
Κρίσις Ἡρώδου, καὶ λόγοι πλήρεις πάθους.
Ἀντίπατρος δέσμιος, αἰτία πάλιν
Νοσῶν Ἡρώδης, καὶ κακῶς πρὸς τῷ χρόνῳ
Φήμη θανάτου, καὶ χρυσοῦ στρουθοῦ λύσις,
Καὶ μυρία κάκωσις ἀνδρῶν ἐνθάδε.
Πληθὺς νόσων τήκουσα δὴ τὸν Ἡρώδην.
Ἔνταλμα πικρὸν ἐκτεμεῖν τοὺς προκρίτους
Αὐτόν τ' ἀναιρεῖν Ἡρώδην ἔγνω δέον
Ἐν τῇ φυλακῇ, καὶ φόνος δ' Ἀντιπάτρου.
Κράτους μερισμὸς, καὶ τελευτῶν Ἡρώδης,
Λύσις προκρίτων δεξιῶς εἰργασμένη.
Ἀρχέλαος ἄνεισιν εἰς ἀρχὴν κράτους.
Πλήθους στάσις, σύγχυσις, ἄπειρος φόνος,
Ἀρχέλαος ἄπεισιν εἰς Ῥώμην τρέχων,
Σὺν Ἀντίπᾳ μάλιστα καὶ τῇ Σαλώμῃ.
Κατὰ Ῥωμαίων τῶν Ἰουδαίων στάσις,
Ἔγκλημα πρὸς Καίσαρα, καὶ κρίσις πάλιν,
Ἀρχέλαος ἥμισυ λαμβάνει κράτους,
Ὁ δ' Ἀντίπας, Φίλιππος, Ἡρώδης νέος
Ἥμισυ λοιπὸν, ἔνθεν ἡ τετραρχία.
Ψευδαλέξανδρος εἰς Καίσαρ' ἀφιγμένος,
Ἀρχελάῳ σύζυγος ἄρτι Γλαφύρα,
Ἀρχελάου παῖς, ἀλλ' Ἀλεξάνδρου δάμαρ.
Κακοῦργος Ἀρχέλαος εἰς ὑπηκόους,
Ἔκβλητος οὖν πρὸς Καίσαρος ἐκ λέχους.
Ἀρχελάου δ' ὄνειρος, αὖθις Γλαφύρας.
Τούτων πάλιν θάνατος ἐξ ὀνειράτων,
Μετὰ δὲ τοῦτον εἰς Κυρήνιον κράτος
Ὃς ὑπογραφὴν ἐκτελεῖ πρῶτος ζώην.
Ἐφ' οὗ γεννᾶται καὶ Χριστὸς ἐκ παρθένου.
Ἔνθεν στάσις ἤρξατο κἂν τοῖς Ἑβραίοις
Ἐκ Σαδὰκ ἀνδρὸς τοῦ κακοῦ Γαυλανίτου.
Μετὰ δὲ Κυρήνιον ἐστάλη πάλιν

SISMANOGLIO MEGARO

Ὁ Πομπώνιος καὶ Μάρκος Ἀμβιβοῦχος,
Εἶτα Ῥοῦφος Ἄννιος, Καίσαρος μόρος,
Καὶ Τιβέριος ἐγκαθίσαται κράτωρ,
Ἐφ' οὗ κατῆρξεν Ἑβραίων ἄρτι κράτος,
Μεθ' ὃν Πιλάτος ὁ Πόντιος τὴν θέσιν,
Ὃς εἰσαγαγὼν ἐν Καισαρείᾳ ξίφος
Τὰς εἰκόνας Καίσαρος ἐν νεῷ φέρων.
Στάσις τὸ λοιπὸν τοῦ παρανόμου χάριν,
Σπάνις ὑδάτων, ἀνάλωσις χρημάτων,
Καταβοὴ πάλιν δὲ σαφὴς Πιλάτου.
Φόνος τε πολλῶν ἐκ μηχανῆς Ἑβραίων.
Οὗτος φανέντα τὸν Θεόν μου καὶ λόγον,
Χάριν νέμων μάλιστα τοῖς Ἰουδαίοις.
Σταυρῷ προσηλοῖ, καὶ κατακρίνει μόρῳ.
Ἀλλ' ἐξανέστη καὶ τριήμερος πάλιν.
Ὡς αἱ γραφαὶ φάσκουσιν εὐαγγελίων.
Κτίζει τετράρχης Ἡρώδης Τιβερίῳ
Τιβεριάδα τὴν πόλιν φέρων χάριν.
Παυλίνα σώφρων ἐν Ῥώμῃ καὶ κοσμία,
Ἧς Μοῦνδος ἤρα, τὸν χρυσὸν πολὺν ῥέων
Ἴσης ἐπιτήδευμα δουλίδος κόρης.
Ἄννουβις ἡ πρόφασις ἐν σωφροσύνῃ.
Πρέσβυς μιαρὰ καθυπουργεῖ σὺν δόλῳ,
Τελεῖ δ' ὁ Μοῦνδος τῶν ἐρώτων τὴν χάριν,
Ὄνειδος, ὕβρις, πρὸς Τιβέριον λόγοι,
Ξόανον εἰς γῆν ἱερεῖς ἐσφαγμένοι,
Καὶ Μοῦνδος ἐξόριστος ἔνθεν τῆς Ῥώμης.
Ἀθροισμὸς ἰδοὺ καὶ Γαριζὶν εἰς ὄρος,
Καὶ Πιλάτος κτείνει δὲ τοὺς ἠθροισμένους,
Οὐϊτελίῳ πρὸς κρίσιν ὁ Πιλάτος,
Καὶ πρὸς Ῥώμην ἔσταλται τοῦ φόνου χάριν,
Φθάνει δὲ Τιβέριος ἐκστὰς τοῦ βίου,
Οὐϊτέλιος ἀνίησιν Ἑβραίοις
Στολὴν ἱερὰν, ὡς χρεὼν αὐτὴν ἄγειν.
Σπονδαὶ μετὰ Πάρθων δὲ τὸν βασιλέα,
Οὐϊτελίῳ σὺν τῷ τετράρχῃ μάχη.
Μόρος Φιλίππου συγγόνου τοῦ τετράρχου,
Στέλλων δὲ τὸν πλοῦν Ἡρώδης πρὸς τὴν Ῥώ-
Ἡρωδιάδι τῇ συνεύνῳ Φιλίππου ( μην
Συγγίνεται μάλιστα λιπὼν Ἀρέταν
Τὴν ἐκ βρέφους σύζυγον οὐ κατὰ νόμους.
Οὗτος σβέννυσι τῇ μαχαίρᾳ τὸν λύχνον
Τὸν Χριστοῦ μου πρόδρομον ἀξινηφόρον,
Πρόῤῥιζον ἐκτέμνοντα τὴν λύσιν νόμου.
Στράτευμα λοιπὸν Ἀρέτα καθ' Ἡρώδην,
Οὐϊτελίῳ Καῖσαρ ἐντεῦθεν γράφει
Μάχην κροτῆσαι καρτερὰν πρὸς Ἀρέταν,
Ἔφθη δὲ Τιβέριος ἐκλιπὼν βίον,
Καὶ τὸ στράτευμα κατὰ χώραν ἐμμένει.
Ὁ Γάϊος ἄνεισιν ἀρχὴν εἰς κράτους,
Ὁ δ' Ἀγρίππας ἔγγονος Ἡρώδου πάλαι
Ἀριστοβούλου τοῦ γόνου παῖς τυγχάνων,
Ὑπὸ Γαΐου πρὸς τιμῆς ὕψος φθάνει,
Πολλὰ παθὼν μάλιστα τῷ πρώην χρόνῳ
Πρὸς Τιβερίου, προσφιλὴς ὢν τῷ γόνῳ,
Ὑπὸ χρεῶν τε καὶ χάριν τοῦ Γαΐου
Δεθεὶς φυλακῇ παρεπέμφθη τῷ τέως.
Κἄν τις πρὸς ὄρνιν ἀτενίσας εὐστόχως,
Ἤγγειλεν ὡς τάχιστα τὴν ἐξουσίαν,
Ἅπερ χρόνῳ πέπρακτο σαφῶς εἰς τέλος.
Λύει γὰρ αὐτὸν ὁ Γάϊος αὐτίκα,
Βασιλέα τε δεικνύει τετραρχίας,
Ἧν ἦρχεν ὁ Φίλιππος Ἡρώδου γόνος.
Ἡρωδιὰς δὲ σύγγονος τοῦ Ἀγρίππα

Τὸν Ἡρώδην ἔπεισεν εἰς Ῥώμην τρέχειν.
Καὶ τὴν Ἀγρίππα λαμβάνει τετραρχίαν.
Ἀπῆλθεν, ἐζήτησεν, εὗρεν ἀδόλως,
Μακρὰν δ' ἐλαθεὶς καὶ τὸ κράτος Ἀγρίππα
Σαφῶς τὸ πᾶν δίδωσιν ὁ Καῖσαρ μόνῳ
Εἰς τὴν Ἀλεξάνδρειαν Ἕλληνες μάχην
Μεθ' Ἑβραίων ἤραντο Γαΐου χάριν.
Καὶ Πετρώνιος ἐστάλη πρὸς Γαΐου
Στήλην ἐγεῖραι τῇ πόλει μέσῃ ζώην,
Ἐστασίασαν οἱ λαοὶ πρὸς τοὺς λόγους,
Πετρώνιος γράφει δὲ ταῦτα Γαΐῳ,
Ὁ δ' ἀντιγράφει πρὸς βάρος Πετρωνίῳ,
Ὑπὲρ δὲ τούτου καὶ δέησιν Ἀγρίππας
Προσῆγεν εὐθὺς ἀξιῶν μετὰ δέους,
Καὶ φθὰς τὸ βίου ἀνταμείβει τῷ μόρῳ.
Καὶ σπουδάσαντος Ἀγρίππα καλὰ κράτος,
Ὁ Κλαύδιος ἄνεισιν εἰς θρόνους κράτος,
Καὶ βασιλεὺς μέγιστος Ἀγρίππας πάλιν,
Πᾶσι δ' ἀνῆκεν ἐγγράφως Ἰουδαίοις
Τὴν ἐξ ἔθους σύμπασαν ἀρχῆθεν δόσιν,
Τινοὺς Ἀγρίππας τὴν καλὴν ταύτην κρίσιν,
Μετὰ μικρὸν δ' ἄνεισι λοιπὸν Ἀγρίππας
Θύει χαριστήρια τῷ Θεῷ ζῶα,
Καὶ τὴν χρυσῆν ἅλυσιν αἰωρεῖ δόμῳ,
Τῶν δωρητῶν τε στάσις ἐκ τῶν εἰκόνων.
Ὕπαρχος Σίλας εὐγενὴς πάλαι φίλος,
Ὄνειδος αὐτοῦ καὶ κοινὴ παρρησία.
Στόμαργος ἀνὴρ ἐν φυλακῇ, καὶ πάλιν
Ἐν πᾶσι πραῦς καὶ καλὸς ἦν Ἀγρίππας
Φιλῶν τιμᾶσθαι, δωρεῶν ὄντως βρύσις,
Ἐπὶ Στάτωνος δ' εἰς πόλιν ἀφιγμένος,
Καὶ δημοτερπεῖς ἐκτελῶν πανηγύρεις,
Στολὴν ὑπενδὺς ἀργυρᾶν ἐξαισίαν
Ἀνεκροτεῖτο, καὶ Θεὸς ἦν ἐν λόγοις,
Ἐντεῦθεν οὖν ἐκ τόσων τεραστίων
Πρὸς τὸν Ἅδην βέβηκεν ἐκ νόσου τρέχων.
Ὁ παῖς δ' Ἀγρίππας ἀτελὴς πρὸς τῇ Ῥώ-
Ὁ δ' αὖ Φάδος Κούσπιος εἰς Ἰουδαίαν (μῃ,
Στολὴν θεϊκὴν εἰς Ἀντωνίαν φέρει.
Λύει πάλιν δὲ ταῖς γραφαῖς τοῦ Κλαυδίου.
Ὁ δ' αὖ Ἡρώδης σύγγονος τοῦ Ἀγρίππα
Τὰ τοῦ νεὼ δέδεκτο καὶ πρεσβυτέρων.
Τῶν Διαβηνῶν ἡ βασιλὶς ἐνθάδε
Σὺν Ἰζάτῃ πρόσεισι τῷ φίλῳ γόνῳ,
Λιμοῦ παραμύθιον εἰς Ἰουδαίαν,
Πρός τινος ἀνήχθησαν εἰς Θεοῦ νόμους,
Τὰ κατὰ Πάρθους, καὶ πάλιν τέλος βίου
Θευδᾶς ἀφιστῶν τοὺς λαοὺς ἀποστάτης.
Θάνατος αὐτοῦ, καὶ κάρα πρὸς τῇ πόλει.
Μετὰ Κούσπιον ὁ Τιβέριος πάλιν
Ἰούδα παῖδες, τῶν λαῶν πάλιν στάσις.
Διάδοχος Κούμανος ἦν Τιβερίου.
Θανὼν Ἡρώδης σύγγονος τοῦ Ἀγρίππα,
Λείπει τὸ κράτος Ἀγρίππα νεωτέρῳ,
Τοῦ Κλαυδίου Καίσαρος ἐνδεδωκότος.
Ἐν τῷ νεῷ κίνησις ἐκ στρατοῦ φόβου,
Φθορά τε πολλῶν, καὶ πάλιν ἄλλη δίκη
Παρανομούντων καί τινων εἰς τὸν νόμον.
Γαλιλαίων στάσις τε καὶ Ἰουδαίων,
Ἄφιξις αὐτῶν πρὸς Κλαύδιον ἐν Ῥώμῃ,
Κούμανος ἐκτὸς καὶ Φῆλιξ εἰς τὸ κράτος.
Ὁ δ' Ἀγρίππας ἔλαβε τὰς τετραρχίας
Τὴν τοῦ Φιλίππου πρὸς δὲ τοῦ Λυσανίου,
Φῆλιξ Δρουσίλλαν Ἀγρίππα κόρην ἄγει.

SISMANOGLIO MEGARO



Νέρων μετὰ Κλαύδιον ἄρχει τῆς Ῥώμης.
Γόητες εἰσέφρησαν ἄνδρες Ἑβραίοις
Ἐξαπατῶντες, ἀνεγείροντες στάσεις,
Λῃστῶν ξίφος ἄπειρον, ἄλλα μυρία,
Ἰωνάθου θάνατος ἐντεῦθεν θύτου.
Ἄλλη στάσις πάλιν δὲ Σύρων Ἑβραίων
Ἐν Καισαρείᾳ, καὶ πολὺς αὐτῶν φθόρος.
Πρεσβυτέρων δὲ ἐνθαδὶ πάλιν στάσις,
Τὸν Φήλικα Πόρκιος ἀλλάσσει Φῆστος,
Καὶ βοὴ πρὸς Νέρωνα τῶν Ἰουδαίων
Κατὰ Φήλικος τῶν βίᾳ πεπραγμένων.
Ἐπιστολὴ Νέρωνος ὑπὲρ τῶν Σύρων,
Ἥτις κατῆρξεν Ἑβραίοις πᾶσαν μάχην.
Ἐντεῦθεν ἀνερρώσθη εἰς μέγα πάλιν
Σικαρίων ὄλεθρος, καὶ στάσις πάλιν.
Ὁ δ' Ἀγρίππας ἤγειρεν οἴκημα μέγα,
Ὅπερ πάλιν φράττουσιν Ἑβραῖοι δίκῃ,
Ὑπὲρ δὲ τούτου καὶ πρὸς Νέρωνα λόγοι.
Ἄννας θύτης δὲ τὸν λαὸν στήσας ἅμα,
Τὸν Ἰάκωβον ἀδελφὸν τοῦ Κυρίου
Λίθοις βαλὼν ἔκτεινεν ἐν Θείῳ δόμῳ.
Μετὰ δὲ Φῆστον Ἀλβῖνος ἐκ τῆς Ῥώμης
Τέμνων τὰ πολλὰ τῶν κακῶν ζιζανίων,
Μεταθέσεις τε συνεχεῖς πρεσβυτέρων.
Ἀγρίππα κατάρχοντος ἄνακτος τότε,
Πολλοὺς Ἀλβῖνος θανατοῖ τῶν δεσμίων,
Μετὰ δὲ τοῦτον στρατηγὸς ἄλλος Φλῶρος,
Κακός, μιαρός, ὡς βαρὺς τοῖς Ἑβραίοις,
Καὶ τί τὰ πολλὰ τῆς πρὸς Ῥωμαίους μά-
Αἴτιος αὐτὸς ἐμφανῶς ἐκ κακίας. (χης
Ἄρχοντος ἐνδέκατον Νέρωνος χρόνον,
Φλώρου δὲ διπλοῦν ἐξανύοντα πάλιν.

## ΑΛΩΣΙΣ ΙΕΡΟΥΣΑ-λὴμ ὡς ὁ Ἰώσηπος ἱστορεῖ.

Εἰς πρῶτον δ' οὕτω συρραγείσης τῆς μά-
Οὐεσπεσιανὸς ἔσταλτο πρὸς Ἰουδαίων, (χης,
Καὶ πρῶτον αἱρεῖ τὰς πέριξ ὅλας πόλεις,
Μεθ' ὧν Ἰωτάπατα σὺν Ἰωσήπῳ.
Μέλλων δὲ βαλεῖν καὶ πρὸς αὐτὴν τὴν πόλιν,
Τῷ θανάτῳ Νέρωνος ἀργεῖ τὴν μάχην.
Στέλλει τὸ λοιπὸν τὸν Τίτον πρὸς τὸν Γάλ-
Πυνθάνεται γοῦν καθ' ὁδὸν τούτου μόρος. (βαν,
Ὄθων μετ' αὐτόν, Οὐϊτέλλιος πάλιν.
Οὐεσπεσιανὸς δ' ἐντεῦθεν ἀρχὴν ὑπέδυ
Πρὸς τὴν Ῥώμην ἄπεισιν ἀφεὶς τὸν Τίτον.
Ὁ δ' αὖ παρελθὼν τὴν πόλιν ἐπεσκόπει
Τὰς μυρίας ἔχουσαν ἔνδον, φεῦ, μάχας,
Καὶ τὸν Σίμωνα τὸν φθόρον δεδεγμένην,
Τῶν Σικαρίων καὶ κακῶν ἄλλων χάριν,
Κατέσχεν οὖν ἱεροῦ τὸ πᾶν κράτος.
Ἔνεδρα πάλιν Ῥωμαίων Ἰουδαίοις,
Τίτος καθαίρει τοὺς τόπους ἐξωτέρω,
Χῶμα συνάγει καὶ κλάδους πρὸς τῇ πόλει,
Ὅπουπερ ἦν τὸ τεῖχος ὕπτιον μάλα,
Ἐνταῦθα κριῶν προσβολὴ μεταρσία,
Οἱ δ' Ἑβραῖοι πῦρ ἀφιᾶσι τοῖς ξύλοις,
Πῦρ γὰρ ξύλινον πρὸς Τίτου πεπραγμένοι,
Καὶ τεῖχος οὐκ ἤνεγκεν ἀλλ' ὑπερράγη,
Πάλιν ὁ κριὸς καὶ κατὰ τοῦ δευτέρου
Ἅλωσις αὐτοῦ, καὶ φυγὴ τούτου πάλιν,
Λιμὸς πιέζων, τοῦ λαοῦ φθορὰ ζώη,
Τοῦ δευτέρου τείχους δὲ λῆψις ἐνθάδε,
Οἱ στασιασταὶ δυσμενεῖς ἦσαν λίαν
Τὸ πᾶν κακοῦντες τοῦ λιμοῦ πολλοῦ χάριν.

Αὖθις ὁ Τίτος χώμασιν ἐπηρμένοις
Διώρυγαὶ πάλιν δὲ τῶν Ἰουδαίων,
Στύλος τε καὶ πῦρ ὑποκάτω τῆς ὕλης.
Τίτος ἐγείρει τεῖχος ἔξωθεν μέγα,
Κλείων πᾶσαν κίνησιν ἐκτὸς Ἑβραίων.
Τὰ τοῦ λιμοῦ δέ τις ἂν ἐκφράσῃ λόγῳ;
Νεκρῶν ὅσων πέπλησο σύμπασα πόλις,
Ὅσων ἰχώρων καὶ κακῆς δυσοδμίας;
Ὅσοι πάλιν φεύγοντες εἰς ἐναντίους
Φθορὰν καθυφίσαντο τῷ ξένῳ μόρῳ;
Χρυσόν τε κατέπινον εἶτ' ἐν σκυβάλοις,
Αὐτὸν ἀνεξέκρινον ἐκ τῶν ἐγκάτων,
Πολλοὺς δ' ἀνερρήγνυον ἔνθεν Ῥωμαῖοι,
Θαρρεῖν δ' εἰς ἑξήκοντα τὰς μυριάδας,
Ὥσπερ κατεκρήμνιζον ἄνωθεν μόνους.
Εἶτα κατασείουσι τὴν Ἀντωνίαν,
Καὶ Σαβῖνος πέπτωκεν ἀνὴρ γεννάδας,
Νυκτὸς δὲ τεῖχος εἷξε τῆς Ἀντωνίας,
Πρὸς ἱερὸν φεύγουσι δ' εὐθὺς Ἑβραῖοι,
Μάχη τε συνέρρηκτο καρτερὰ λίαν,
Πεσόντος ἀνδρὸς γεννάδου πρὸς τῇ μάχῃ,
Καὶ πῦρ τὸ λοιπὸν ἱερὸν καταφλέγει.
Ἡ τοῦ λιμοῦ δὲ παμφάγος στρατηγία
Καὶ μητέρας ἔπειθε παῖδας ἐσθίειν,
Καὶ πῦρ ὑφεῖρπε πρὸς πύλαις πάλιν δόμου,
Τίτος δὲ τὸ πῦρ σβεννύειν παρηγγύα,
Σῶον δὲ τηρεῖν ἱερὸν Θεοῦ δόμον.
Οἱ στασιασταὶ συμπλέκονται Ῥωμαίοις,
Ἀλλὰ τρέπονται καὶ πάλιν κατακράτος.
Σώζειν δὲ λαὸν ἐγκελεύεται Τίτος,
Ἥκιστα δ' ἦν μάλιστα τῷ στρατῷ φίλον.
Οὐκοῦν τὸ πῦρ ἤσθιε πάντα τὸν δόμον,
Σωροὶ δὲ νεκρῶν κατὰ γῆς ἐρριμμένοι.
Κρείττους ἀριθμοῦ πανταχοῦ καὶ πῦρ φλέγει,
Ἄλλοι δ' ἑκόντες κατέπιπτον εἰς φλόγα.
Τέρατα τινὰ σύμβολα κακουργίας,
Ἀνὴρ κομήτης ἐμφερὴς τομῷ ξίφει.
Καὶ φῶς περιττὸν ἑσπέρας καθωράθη,
Καὶ βοῦς μετ' ἀρνοῦ τῷ Θεῷ πρὸς θυσίαν,
Ἀνατολικὴ διανοίγεται πύλη,
Εἰς ἀέρα δὲ καὶ στολαὶ φεῦ ἁρμάτων,
Ἐν πεντηκοστῇ τῆς βοῆς ἄνω κτύποι,
Καί τις ἀνὴρ ᾤμωξεν ἐν μέσοις τρέχων,
Αἲ αἲ βοῶν σύμπασιν ἁπλῶς τῇ πόλει.
Τίς δ' αὖ τὸ κέρδος ἐκφράσει τῶν σκύλων;
Τίτος στασιάζουσι τοῖς ἔνδον λέγει
Σώζειν ἑαυτοὺς ἐκλιπόντας τὰ ξίφη,
Ἐντεῦθεν οὐ θέλουσιν, ὁ Τίτος πάλιν
Στρατὸν διαφίησιν ἐμπρῆσαι πόλιν,
Τῶν στασιαστῶν ἐν μέσῳ τετραμμένων,
Ἰουδαίοις δίδωσιν δεξιὰν Τίτος,
Φεύγει Σίμων δέ, τοὺς φυγάδας ἐκτρέπει.
Τοὺς δημοτικοὺς παρεῶσι Ῥωμαῖοι,
Κόρῳ φόνου δὲ τοὺς ξένους ἀπημπόλουν,
Θύτης Ἰησοῦς ἐμφανίζει Ῥωμαίοις
Χρήματα πολλὰ σὺν στολαῖς ἐνδυμάτων
Τῆς δ' ἄκρας ἄνω μηχαναῖς κινουμένης,
Οἱ στασιασταὶ πρὸς φάραγγα τὴν κάτω
Καὶ Σιλωὰμ φεύγουσιν ἐγκεκρυμμένοι.
Κράτος δὲ πάντων Ῥωμαίοις ἐπιβλέπει.
Χαίρων δ' ὁ Τίτος ἀνεκύκλου τὴν πόλιν
Τάχη τεθηπὼς, καὶ κακούργων τὴν μάχην.
Οἱ μὲν θανόντες ἦσαν μυριάδες δέκα
Πρὸς τοῖς ἑκατὸν, ἐν πάσῃ μάχῃ λέγω.

SISMANOGLIO MEGARO



Οἱ δ' αἰχμάλωτοι μυριάδες ἐννέα
Σὺν ἑπτὰ σαφῶς τοῦ λαοῦ χιλιάσιν.
Οἱ στασιασταὶ σὺν Ἰωάννῃ Σίμων
Ἐξαναδύντες ἐκ λιμοῦ τὴν γῆν κάτω,
Τῷ ταγματάρχῃ παραδίδονται Ῥούφῳ,
Καὶ πρὸς Ῥώμην ἤχθησαν ἐν δήμῳ μέσῳ,
Οἳ καὶ τέλος τέμνουσιν αὐτῶν τὰς κάρας
Ἴσα κακὰ πάσχουσιν Ἀντιοχείᾳ
Ἰουδαίων ἄπειρον ἀθλίως ξίφος.
Ἔκ τινος αὐτοῖς τὴν γενὴν ὁμοσπόρου.
Ἀντίοχος ἦν ὡς κακοῦργος τὴν φύσιν
Ἐξ οὗ στασιάσαντες οἱ δῆμοι τότε
Πολλοὺς διαφθείρουσιν ἐκ τῶν Ἑβραίων.
Αὖθις ἀνῆπτο πῦρ παμφάγον τῇ πόλει,
Ὕποπτος Ἀντίοχος εἰς φθορὰν μέσην
Πολλοῖς σὺν ἄλλοις τοὺς γόνους ἐν ἀπόροις.
Τίτῳ προσαγγέλλουσιν Ἑβραίων ξίφη
Ὡς ἐκβαλεῖν τάχιστα τῆς Ἀντιόχου.
Καὶ πείθεται δὴ συμπαθῶν Ἰουδαίοις.
Ἀνασκαφὴ πάλιν δὲ τῆς Ἰουδαίας.
Πρὸς τὴν Ῥώμην ἄνεισιν ὁ Τίτος τρέχων,
Βάσσου στρατηγὸς τὴν Ἰουδαίαν φθάνει.
Φρούρια πολλὰ τῇ μάχῃ συλλαμβάνει,
Μεθ' ὧν μαχαιροὺς καρτερὰ πόλις λίαν,
Ἀλοῦσα ταῖς μάστιξιν Ἐλεαζάρου.
Ἔκεισε καὶ πήγανον ὑπῆρχε μέγα.
Καὶ ῥίζα νυκτὸς ἀπαστράπτουσα σέλας,
Οὔρῳ γυναικὸς, ἢ κυνὸς οὐρᾷ πάλιν,
Ἀκινδύνως πρόρριζος ἀνασπωμένη.
Βάσος ἐν οὔσει τοῦ δρυμοῦ τῆς Ἰλάρσης
Ποθεῖ τὸ σύμπαν εἰς τέλος καταστρέφειν,
Πεσόντων αὐτῶν καὶ στρατοῦ τῶν Ῥωμαίων,
Εἶτ' ἀφίησιν ἐντελῆ πᾶσαν χθόνα,
Καθώσπερ ἦν τὰ πρῶτα τοῖς Ἰουδαίοις,
Νέμειν τε δασμοὺς καπιτωλίῳ Ῥώμης.
Βάσου τελευτήσαντος στρατηγὸς Σίλβας,
Ὅστις παρεστήσατο Μασάδα πόλιν
Χώμασι πολλοῖς καὶ κριοῖς καὶ λαμπάσι,
Τῶν σικαρίων μᾶλλον Ἐλεαζάρου
Βουλὴν διδόντος ἐν πυρὶ πρῆσαι πόλιν.
Εἶτα κτανεῖν σύμπαντας ἢ Ῥώμης ξίφει.
Καὶ πράσσεται δὴ τὸ παράδοξον τέρας.
Πλὴν γὰρ γυναικὸς καὶ νέων βραχυτάτων
Ἅπαντες ἐφθάρησαν αὐτῶν τῷ ξίφει.
Ὁ στρατηγὸς εἴσεισι, θαυμάζει μέγα
Τὸ καρτερικὸν τῆς ψυχῆς τῶν Ἑβραίων.
Ἀλλ' ἡ φθορὰ πάλιν δὲ τοῖς Ἰουδαίοις
Εἰς τὴν Ἀλεξάνδρειαν ἐκ σικαρίων
Στασιαζόντων τὰ ξίφη τῶν Ἑβραίων
Μὴ δεσπότην Καίσαρα μηδ' ὅλως λέγειν.
Οὐκοῦν φόνος κέχυτο πλεῖστος ἐνθάδε,
Φθάνει τὸ δεινὸν τῶν κακῶν σικαρίων,
Καὶ μέχρις αὐτῶν τῶν τόπων τῆς Κυρήνης.
Ἰωνάθαν δείσαντος ἀγροίκῳ ξίφει
Αὐτῷ προσελθεῖν καὶ τεράστια βλέπειν,
Ἀλλὰ σχεδὸν πέπαυτο ῥάπτων τοὺς δόλους.
Ταῦτα μὲν ὧδε τῆς Ἰουδαίας πάθη.
Τὴν ἐσχάτην ἅλωσιν ὑπὸ Ῥωμαίων
Ὑποστάσης μάλιστα ταῖς Χριστοῦ δίκαις.
Ἐς ὕστερον δὲ στασιάζουσι πάλιν
Ἀδριανοῦ κρατοῦντος ἐν Ῥώμῃ κράτει.
Κατακράτος δ' ἥττηντο τῷ ξίφει πάλιν,
Πολλῶν φθαρεισῶν ἐμφανῶς μυριάδων,
Ὡς βραχυτάτους ὑπολειφθῆναι βίῳ.

## ΑΠΑΡΙΘΜΗΣΙΣ ΤΙΣ ΙΣΤΟΡΙΚΗ ΑΡΧΑΙΑ ΤΕ ΚΑΙ ΝΕΩΤΕΡΑ ΤΩΝ ΚΑΤΑ ΦΥΛΑΣ ΚΑΙ ΤΟΠΟΥΣ ΑΡΞΑΝΤΩΝ.

Τὰ κατὰ Μωσῆν ἐνθάδι διαγράφω.
Ἐξ Ἀβραὰμ κάτεισι Μωσέως γένος.
Ὁ γὰρ Ἀβραὰμ Ἰσαὰκ γεννᾷ πάλιν,
Ὁ δ' αὖ Ἰακὼβ, τὸν Λευῒ δ' οὗτος πάλιν,
Λευῒ τὸν Καὰθ, ὁ δ' Ἄβραμ τὸν Μωσέως.
Μωσῆς στρατηγεῖ πρὸς Θεοῦ τεταγμένος,
Καὶ τῆς Αἰγύπτου τοὺς λαοὺς ὑπεξάγει,
Τεμὼν ἐρυθρὰν, καὶ παράδοξα δράσας.
Τούτου θανόντος διάδοχον δεικνύει
Θεὸς Ἰησοῦν τὸν Ναυῆ κεκλημένον.
Ὃς εἰσαγαγὼν Ἑβραίους Παλαιστίνῃ,
Κλήρῳ τε τὴν γῆν παραδοὺς Ἰεφθάε,
Θνήσκει τελευτῶν εἰς βαθὺ γῆρας φθάσας.
Ὁ δ' αὖ γε λαὸς ἀσεβεῖ παραυτίκα,
Καὶ κριταὶ κατέστησαν ἐν τούτοις μόνοι.
Καὶ τοὺς δὲ κριτὰς Ἰσραὴλ μάνθανέ μοι.
Πρῶτος Ἰούδας, δεύτερος Γοθονιήλ,
Ἀὼδ, Σαμεγὰρ, πέμπτος Βαρὰκ, Δε-
Εἶτα Γεδεὼν ὁ καλὸς, Ἀβιμέλεχ, (βώρα,
Θολᾶ, Ἰαῒρ ὁ ξένος, Ἰεφθάε,
Ἀβεσσὰν, Αἰλὼμ, Ἀβδὼν, καὶ ὁ Σαμψὼν
Μεθ' ὃν κατῆρξεν Ἰσραὴλ οὐδεὶς τότε, (τε.
Ἀναρχία δ' ἔσχηκεν Ἑβραίων γένος.
Μετὰ δὲ ταύτην ἱερεὺς Ἠλεὶ κρίνει,
Θεῷ κολασθεὶς τῶν γόνων αὐτοῦ χάριν,
Μεθ' ὃν Σαμουὴλ ἱερεὺς καὶ προβλέπων.

Φυλῶν δ' ἄνακτες Ἰσραὴλ δεκαδύο.

Οὗτος δ' ἄνακτα τὸν Σαοὺλ πρῶτον χρίει,
Φυλαῖς Ἰσραὴλ δωδεκαριθμουμέναις.
Ἔπειτα Δαβὶδ, καὶ Σολομὼν ὁ τρίτος.
Ἐντεῦθεν ἐῤῥάγησαν εἰς δύο μέρη,
Καὶ τῷ Ῥοβοὰμ ἠκολούθησαν δύο.
Ἱερουσαλὴμ ἔνδον ἐν τῇ πατρίδι,
Τῷ δ' αὖ Ἱεροβοὰμ δούλῳ τῶν φυλῶν λοιπαὶ δέκα,
Ὅστις ἀποστὰς ἦλθεν ἐν Σαμαρείᾳ.

Δύο Φυλῶν ἄνακτες ἐκ Δαβὶδ γένους.

Μετὰ Σολομὼν Ῥοβοὰμ κρατεῖ μόνος,
Μεθ' οὓς Ἀβιᾶ, καὶ Ἀσσᾶ τὸ παιδίον,
Ὁ Ἰωσαφὰτ, Ἰωρὰμ, Ὀχοζίας.
Ἡ Γοθολία, Ἰωὰς, Ἀμεσίας,
Μεθ' ὃν Ὀζίας, καὶ γόνος Ἰωάθαν.
Ἄχαζ, Ἐζεκίας τε, Μανασσῆς γόνος
Ἀμὼς μετ' αὐτῶν, καὶ καλὸς Ἰωσίας,
Ἰωάχαζ ὅμαιμος, Ἐλιακεὶμ τε,
Ἰεχονίας, καὶ τέλος Σεδεκίας,
Ἔπειτα κατήχθησαν εἰς Βαβυλῶνα.

Δέκα Φυλῶν ἄνακτες ἐν Σαμαρείᾳ.

Ἱεροβοὰμ μυσαρὸς ἀποστάτης,
Μεθ' ὃν Ναβάτ τε, Βαασᾶ τρίτος πάλιν,
Ἠλὰ, καὶ Ζαμβρὶ, Ἀχαὰβ, Ὀχοζίας.
Ἰωρὰμ, Ἰοὺ, δέκατος Ἰωάχαζ.
Ἰωὰς, Ἱεροβοὰμ ἄλλος πάλιν,
Ἀζαρίας, ὁ Σελλοὺμ, Μαναὴμ τε,
Ὁ Φακεσίας, Φακεὲ, Ὠσηέ τε.
Ὃν Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων,
Καταλύσας ᾤκησεν εἰς Σύρων χθόνα.



Ἔθνεσιν ἀφεὶς τὴν Σαμάρειαν ξένοις,
Συμμίξας αὐτοῖς ἔκ τινων τεραστίων.
Καί τινας αὐτῶν ἐν χρόνοις τοῖς ὑστέροις.

Ἐκ Βαβυλῶνος λύσιν αἰχμαλωσίας,
ὡς Ἔσδρας ἱστόρησεν ἐνθάδε γράφω.

Πορθεῖ μὲν Ἀσσύριος Ἰσραὴλ γένος
Ἄναξ κάκιστος ὁ Ναβουχοδονόσορ,
Ἄρχων Σύρων μάλιστα Βαβυλωνίων,
Ἑβδομήκοντα δ' ἐν χρόνοις τοῖς ὑστέροις,
Κῦρος ὁ Πέρσης, Ἔσδρα καὶ Ζοροβάβελ
Τοῖς αἰχμαλώτοις τὴν ἀνάκλησιν νέμει.
Ἐγείρεται γοῦν καὶ ναός τε καὶ πόλις.
Ἔσδρας ὑπουργεῖ καὶ Ζοροβάβελ ἅμα,
Καὶ Νεεμίας, Βανέας, Σαραβίας.
Καὶ Ἰωσεδὲκ Ἰησοῦ μέγας θύτης.
Μένει τὸ λοιπὸν Ἰσραὴλ ἐπὶ χρόνοις
Μάλισθ' ἑκατὸν καὶ μικρὸν προσωτέρω,
Ἐν ἱερεῦσι τὴν διοίκησιν ἔχων.
Ἔπειθ' ἑκόντες ὑπέκυψαν ἀφρόνως
Μακεδονικῷ τῷ κράτει Πτολεμαίων,
Ἐντεῦθεν οὖκουν καὶ τὰ τῶν Μακκαβαίων.

Καὶ τὰ Μακκαβαϊκὰ νῦν μάνθανέ μοι,
τῶν Ἑβραϊκῶν ὕστερα πεφυκότα.

Ἀρχιερεὺς πρώτιστος ἦν τις Ὀνίας,
Ἔπειτα Σίμων ὁ καλὸς, καὶ Ἰάσων,
Ὁ Μενέλαος, καὶ Λυσίμαχος θύτης,
Αὖθις Ἰάσων, καὶ Μενέλαος πάλιν.
Εἶτα Ματθίας, Ἰούδας Μακκαβαῖος
Ἰωνάθης παῖς καὶ Σίμων Ἰωνάθης,
Ὃς καὶ θέσιν ἔσχηκεν ἐξ Ὑρκανίας.
Ἔπειτ' Ἀριστόβουλος βασιλεὺς θύτης,
Ὅμαιμος αὐτῷ βασιλεὺς Ἰανναῖος,
Οἱ παῖδες αὐτοῦ σὺν γυναικὶ Σελίνῃ,
Ἄναξ Ὑρκανὸς, Ἀριστόβουλος θύτης.
Μόνος Ἀριστόβουλος, Ὑρκανὸς μόνος.
Τότ' ἦν στρατηγῶν Ἀντίπατρος Ἑβραίων
Πατὴρ Ἡρώδου φέρων Παφασαήλου.
Ὑρκανὸν Ἀντίγονος ἐκβάλλει κράτους.
Διάδοχος τούτου δὲ πάλιν Ἡρώδης.
Ἐφ' οὗ γεννᾶται καὶ Χριστὸς ἐκ παρθένου.
Ἥμισυ δ' ἀρχῆς Ἡρώδου προσλαμβάνει
Ἀρχέλαος παῖς, τὸ δὲ λοιπὸν τοῦ κράτους
Φίλιππος ἦρχον, Ἡρώδης, Λυσανίας.
Ἀρχελάου δ' ἄνακτος ἐκβεβλημένου,
Ὁ Πιλάτος Πόντιος ἦρξεν ἐκ Ῥώμης,
Ὃς Χριστὸν ἐσταύρωσε τὸν Θεοῦ λόγον,
Ἀρχῆς δὲ πάσης ἦρξεν Ἡρώδης μόνος,
Ὁ καὶ τετράρχης συγγόνων τεθνηκότων.
Οὗπερ θανόντος βασιλεύουσι γόνοι.
Μέγας Ἀγρίππας βασιλεύς τε καὶ θύτης.
Τὸν Πιλάτον, Μάρκελλος ἀρχῆς ἐξάγει.
Ἔπειτα Φάδος ὁ Κούσπιος τὴν θέσιν,
Ὃν Ἀγρίππας ἤμειψεν ὕστερον νέος.
Καὶ Τιβέριος Ἀλέξανδρος τοὐπίκλην,
Εἶτα Κόμανος ὁ κάκιστος καὶ Φῆλιξ.
Μεθ' ὃν Φῆστος Πόρκιος, ἄλλος Ἀλβῖνος.
Γέσιος Φλῶρος, καὶ Λούκιος ὁ Βάσσος,
Βλάβιος, Σίλβας, μετὰ Τίτον ὑστέρως,
Ὅστις πρόπαν ἔφθειρεν Ἑβραίων γένος,
Καὶ τὴν πόλιν ἔσκαψεν ἄχρι πυθμένων.
Ὅτ' ἦν στρατηγῶν Μωϋσῆς παρ' Ἑβραί-
οις, οὗτοι Σύρων ἄνακτες ἦσαν τῶν πάλαι.

οἱ παμπάλαιοι βασιλεῖς Ἀσσυρίων.

Ἀσσυρίων πρώτιστος αὐταρχεῖ Βῆλος,

Νῖνος μετ' αὐτὸν, καὶ Σεμίραμις τρίτη,
Ζάμης, Ἄρειος, Μασχάλαφος, καὶ Σφαῖ-
Ὁ δ' ὄγδοος Μάμυθος, εἶτα Βαλλαῖος, (ρος,
Ἄρειος ἄλλος, Ξέρξης ὁ καὶ Βαλλαῖος,
Ἀρμαμίθρης τε, καὶ Βῆλος ἄλλος πάλιν,
Ἄλλος Βαλλαῖος, εἶτα καὶ ὁ Ἀλτάλας,
Μάμυθος, καὶ Σπάρεθος. εἶτ' Ἀσκάδας.
Ὁ Ἀμύντης, Ἄτοσσα, καὶ Βῆλος πάλιν,
Βαλαδόρης τε, καὶ γόνος ὁ Λαμπρίδης.
Σώσαρις, καὶ Λάμπαρις. εἶτα Παννίας,
Ὁ Σωσαρμός τε, Μιθραῖος καὶ Ταυτάνης,
Εἶτα Σθωεὺς δὲ Δέρκιλλος ἄλλος πά-
Ὀλωσθώνης ἔπειτα, καὶ Περιλάδης. (λιν,
Εἶθ' ὁ Φρασταῖος. ὁ Φράτης, Ἀκραζάνης,
Θόνος, Σαρδανάπαλος, εἶτα καὶ Νῖνος.

Οὗτοι παλαιοὶ βασιλεῖς Βαβυλώ-
νων, Μήδων τε, Περσῶν, τῶν
πάλαι δ' Ἀσσυρίων.

Κρόνος, Νῖνός τε, καὶ Θούρας, Ἄρης πάλιν,
Λάμης, Σαρδανάπαλος, Σπάταλος, πό-
Ἔπειτα Περσεύς, καὶ Ναβουχοδονόσορ, (τῆς.
Οὖλος Μαρωδὰχ, Βαλτάσαρ, ὁ Δαρεῖος,
Κῦρος ὁ Πέρσης, Καμβύσης σὺν Σπερδόχῃ
Ὑστάσπου Δαρεῖός τε, καὶ Ξέρξης γόνος.
Ἀρταβάνης πάλιν δὲ σὺν Ἀρταξέρξῃ.
Ὁ δεύτερος Ξέρξης τε σὺν Σογδοάνῃ.
Νόθος Δαρεῖος παιδίον Ἀρταξέρξου.
Ἀρταξέρξης ἄλλος δὲ τὴν κλῆσιν Χόος,
Ἄρσης ὁ Χόος, Δαρεῖος ὁ Ἀρσάμου.
Ὅνπερ Μακεδὼν Ἀλέξανδρος κτιννύει,
Καὶ Βαβυλώνων καὶ Περσῶν ἀρχὴν λύει.

Ἄθρει βασιλεῖς ἐνθάδε Μακεδόνων,
οἵτινες ἦρξαν Αἰγύπτου.
Σύρων. Μήδων.

Ἀλέξανδρος, κράτιστος ἐκ Μακεδόνων.
Οὗ καὶ θανόντος ἀνδρικῶς ἐν Περσίδι,
Τριττοὶ κρατοῦσι τοῦ κράτους μεγιστᾶνες,
Πτολεμαῖος, Σέλευκος, σὺν Ἀντιγόνῳ.
Κρατεῖ δ' Αἰγύπτου Πτολεμαῖος ὁ Λάγου,
Εἶτα δὲ κρατεῖ ἐκ γένους Πτολεμαίων
Ἀρχὴν ἐς αὐτὴν τῆς καλῆς Κλεοπάτρας.
Ὁ Φιλάδελφος δεύτερος Πτολεμαῖος.
Ὃς καὶ μετεγλώττισεν Ἑβραίων βίβλους.
Μεθ' ὃν καὶ τρίτος τὴν θέσιν εὐεργέτης,
Καὶ Πτολεμαῖος ἐν λόγοις Φιλοπάτωρ,
Ἐπιφανής τε πέμπτος ἐν Πτολεμαίοις.
Μεθ' ὃν κρατεῖ μάλιστα παῖς Φιλομήτωρ,
Ἔπειτα κασίγνητος ὁ Πτολεμαῖος.
Εὐεργέτης δὲ Φύσκων ὁ Πτολεμαῖος.
Κόκκης Ἀλεξᾶς ἔνατος Πτολεμαῖος.
Σωτὴρ πάλιν δεύτερος ἐν Πτολεμαίοις,
Ἀλέξανδρός τε, Λάθυρος Πτολεμαῖος.
Ἔπειτα Διόνυσος καὶ Κλεοπάτρα,
Καὶ Κλεοπάτρα βασιλεύσασα μόνη.
Ἥτις καθυπέκλινε τῷ Ῥώμης κράτει.

Βαβυλῶνος δὲ Συρίας Παλαιστίνης.

Σέλευκος ἐκράτησε καὶ ὁ Νικάνωρ,
Μεθ' ὅνπερ Ἀντίοχος αὐταρχεῖ γόνος.
Ἀντίοχος ἄλλος δὲ παῖς Ἀντιόχου.
Σέλευκος, Ἀλέξανδρος ἔμπυρος φύσιν,
Ἔπειθ' ὁ Ἀντίοχος Ἑβραίων φθόρος,
Ὃς καὶ τυραννεῖ τοὺς σοφοὺς Μακκαβαίους.
Ὃς σπένδεται μάλιστα τῷ Ῥώμης κράτει.



Ἄλλος πάλιν Σέλευκος ὁ Φιλοπάτωρ.
Ὀρφανὸς Ἀντίοχος εὐπάτωρ θέσιν.
Τούτοις γένος πέπαυτο καὶ τοῦ Σελεύκου.

Ἀντίγονος δὲ στρατηγεῖ τῆς Ἀσίας.

Ἀφ' οὗπερ Δημήτριος σωτὴρ τὴν θέσιν.
Εἶτ' Ἀλέξανδρος ὁ Βαλὰς κεκλημένος,
Καὶ Δημήτριος, Νικάτωρ Σιειπίδης.
Ἀλεξάνδρου παῖς Ἀντίοχος, καὶ Τρύφων,
Μεθ' ὅνπερ Ἀντίοχος παῖς Δημητρίου.
Πάντες γόνυ κλίναντες ἀνάσσῃ Ῥώμῃ.

Ὅτ' ἦν στρατηγῶν Μωϋσῆς παρ' Ἑ-
βραίοις, οὗτοι κατῆρξαν Ἑλλήνων
πανσπερμίας. Ἕλληνες οἵδε βα-
σιλεῖς Ἄργους μόνου.

Πρῶτος Ἴναχος, Φορωνεὺς ἐν δευτέρῳ,
Ἆπις, Ἄργος, Κρίασος, εἶτα καὶ Φόρβας
Μεθ' ὃν Τριόπας, καὶ Κρότωπος ἐκ γόνων
Ὁ Σθενέλαος, Εὐρυσθεύς τε, καὶ Πέλοψ,
Ἐν οἷς τὸν Οἰνόμαον ἀρίθμει πάλιν.
Ἀτρεύς, Θυέστης, Εὐρυσθεὺς τούτοις ἅμα,
Ἀγαμέμνων. Αἴγιστος, Ὀρέστης πάλιν,
Ὁ Τισαμενός, Πενθησίλαος κόμης.
Μεθ' οὓς ἀποικεῖ τὰ γένη τῶν Ἰώνων.

Ἀθηναίων ἄνακτες Ἀτθίδος.

Μετὰ μόρον ἄνακτος Ὠγύγου πάλαι,
Πρώτιστος ἄρχει διφυὴς Κέκροψ μόνος,
Μεθ' ὃν Κραναὸς αὐτόχθων κεκλημένος.
Εἶτ' Ἀμφικτύων Δευκαλίωνος γόνος.
Ἐριχθόνιος, Πανδίων τούτου γόνος,
Ἐρεχθεὺς Πανδίονος ὅμαιμος, Κέκροψ,
Πανδίων, Αἰγεύς, καὶ Θησεὺς τοῦτου γόνος.
Εἶτα Μενεσθεύς, Δημοφῶν ὁ Θησέως,
Ὀξύντης, Ἀφείδας τε, Θυμοίτης πάλιν,
Μέλανθος, ὁ Σύλιος. Κόδρος ὕστερος.

Οἱ διὰ βίου ἄρχοντες.

Μέδων Ἄκαστος, Ἄρχιππος σὺν Θερσίπ-
Φόρβας, Μεγακλῆς, καὶ Διόγνητος γόνος, (πῳ
Φερεκλῆς, Ἀρίφρων τε, Θεσπιεὺς πάλιν,
Ὁ Ἀγαμήστωρ, Αἴσχυλος, ὁ Ἀλκμαίων.

Οἱ Κρητῶν ἄρχοντες.

Μεθ' ὃν Χάροψ, Κλείδικος, εἶτ' Αἰσιμίδης,
Ἱππομένης ἔπειτα, καὶ Λεώκρατος.
Ἄψανδρος ἕκτος, ἕβδομος Ἐρυξίας.
Ἔπειτ' ἐνιαύσιος ἄρχων ὁ Κρέων.
Μεθ' ὃν ἐννακόσιοι καὶ τρεῖς ὕστερος.
Ἵνα τὰ πολλὰ μὴ διατρίβων λέγω.
Πλὴν καὶ χώρα κέκλιτο τούτοις τῇ Ῥώμῃ.

Ὅτ' ἦν Σολομῶν βασιλεὺς παρ' Ἑ-
βραίοις, οὗτοι Ῥώμης ἄνα-
κτες ἦσαν ἐν βίῳ.

Ῥῶμος, Ῥωμύλος ἐκ γένους Αἰνειάδων.
Μεθ' οὓς οἱ συνπάτερες ἦρξαν εἰς χρόνον,
Ἔπειτα Νουμᾶς Πομπίλιος τὴν θέσιν.
Μεθ' ὃν Τοῦλλος Ὁστίλλιος, Ἄγκος ὁ Μάρ-
Πρίσκος ὁ πέμπτος καὶ Ταρκύνιος ἄναξ, (κος
Ἕκτος Σερούϊλιος, καὶ Σούπερβος ὕστερος.
Μεθ' οὓς ὕπατοι διέπουσι τὴν Ῥώμην,
Κατὰ χρόνον κρίνοντες ὡς πρῶτον δύο.
Πρῶτοι δὲ πάντων ὁ Ἰούνιος Βροῦτος.
Καὶ Ταρκύνιος συνάμα Κολλατῖνος.
Ἄχρι δὲ τῆς Καίσαρος αὐτοναρχίας,
Ἔγγιστα τυγχάνουσιν ἑπτακοσίων.
Οὕσπερ ἐνθαδὶ περιττὸν διαγράφειν.



SISMANOGLIO MEGARO

Ῥώμης βασιλεῖς οἷδε τῆς παλαιτέρας,
μεθ᾽ ὑπάτους ἄρξαντες ἐκ μοναρχίας.
Ἰούλιος Γάϊος ἐν πρώτοις Καῖσαρ,
Ἀδελφιδοῦς Αὔγουστος μονάρχης μέγας,
Ἐφ᾽ οὗ Θεός μου σάρκα λαβὼν ὡράθη.
Τιβέριος Γάϊος, Κλαύδιος Νέρων,
Ὁ Γάλβας, Ὄθων, Οὐϊτέλλιος Καῖσαρ,
Οὐεσπεσιανός τε καὶ Τίτος γόνος,
Ἱερουσαλὴμ πάμπαν ἠδαφικότες.
Δομετιανὸς, Νέρβας ὁ καὶ Νερούας,
Ὁ Τραϊανὸς, Ἀδριανὸς, Αἰλίας,
Ἀντωνῖνος, Μάρκος τε, Κόμοδος γόνος.
Μεθ᾽ ὃν Περτίναξ, Ἰουλιανὸς πάλιν,
Σεβῆρος, Ἀντωνῖνος, συνάμα Γέτα,
Ἀντωνῖνος ὁ καράκαλος, Μαρῖνος Καῖσαρ
Ἀντωνῖνος τέταρτος Γάλβας τὴν θέσιν,
Ἀλέξανδρός τε, Μαμαίας, Κωνσταντῖνος.
Καῖσαρ Βαλβῖνος, Πομπλιανός τις πάλιν,
Ὁ Γορδιανὸς, Γάλλος τε, Οὐνίωρ
Μάρκος, Ἰουσιλιανὸς, Φίλιππός τε,
Βαλεριανὸς, Γάλος, Δέκιος Καῖσαρ.
Κλαύδιος ἄλλος, ὁ Κυντιλλιανός τε,
Αὐρηλιανὸς, καὶ Τάκητος ὁ Καῖσαρ,
Ὁ Φλωριανὸς, καὶ σὺν τῷ Πρόβῳ Κάρος
Καὶ Καρῖνος παῖς, ὁ Νουμεριανός τε,
Διοκλητιανός τε σὺν τούτῳ πάλιν
Μαξιμιανὸς, Ἑρκούλλιος τοὐπίκλην.
Γαμβροὶ δὲ τούτων ὁ χλωρὸς Κώνστας ἅμα,
Καὶ Μαξιμῖνος ὁ Γαλλέριος θέσιν,
Ὁ Σεβῆρός τε συνάμα Μαξεντίῳ,
Οὓς Κωνσταντῖνος ὁ χλωροῦ Κώνστα γόνος
Καταβαλὼν, ἦρατο τὸ κράτος μόνος,
Σταυρῷ πεποιθὼς ἀρραγεῖ πανοπλίᾳ.

Τῶν Χριστιανῶν τοὺς βασιλεῖς
μοι σκόπει.

Κωνσταντῖνος πρώτιστος εὐσεβοκράτωρ,
Κωνστάντιος παῖς οὐ καλὸν σέβας τρέφων,
Ἰουλιανὸς δυσσεβὴς παραβάτης,
Ἰοβιανὸς εὐσεβέστατος λίαν,
Οὐαλεντινιανὸς εὐσεβῶν κλέος,
Σὺν Οὐάλῃ μάλιστα τῷ καταράτῳ,
Καὶ Γρατιανὸς, Θεοδόσιος μέγας,
Σὺν Ἀρκαδίῳ, Θεοδόσιος νέος.
Ὁ Μαρκιανὸς, καὶ Λέων ὁ Μακέλλης,
Ζήνων, Ἀναστάσιος μονοφυσίτης,
Ἰουστῖνος Θρᾷξ, Ἰουστινιανός τε
Κτίτωρ σοφίας, πλημμελὴς κατὰ σέβας,
Ἰουστῖνος ἔσχατος ἐν πᾶσι τρέπων.
Ὁ Τιβέριος, καὶ Μαυρίκιος πάλιν,
Φωκᾶς ὁ δεινὸς, σύγχυσις Ἡρακλέους,
Κωνσταντῖνος παῖς εὐσεβῶν κατὰ κράτος.
Κώνστας μυσαρὸς ἐκ γόνων Ἡρακλέους,
Ὁ Κωνσταντῖνος εὐσεβὴς πωγωνάτος,
Καὶ Ἰουστινιανὸς ἐκκοπεὶς ῥῖνα,
Λεόντιος τύραννος, σὺν Ἀψιμάρῳ.
Πάλιν ὁ ῥινότμητος, σὺν Τιβερίῳ,
Φιλιππικὸς δύστηνος Βαρδάνης θέσιν,
Ἀναστάσιος Ἀρτέμιος τοὐπίκλην
Ἀτραμμυτινὸς Θεοδόσιος γέρων,
Ὁ θὴρ Λέων Ἴσαυρος εἰκονομάχος,
Σὺν κοπρωνύμῳ, καὶ Λέων ἐκ Χαζάρας.
Εἰρήνη λαμπρὰ καὶ Κωνσταντῖνος νέος.
Ὁ τοῦ Γενικοῦ δυσγενὴς Νικηφόρος,
Ὁ Σταυράκιος, Μιχαὴλ Ῥαγκαβαῖος

SISMANOGLIO MEGARO



Λέων ὁ Ἀρμένιος εἰκονομάχος.
Τραυλὸς Μιχαὴλ, καὶ Θεόφιλος ἶσοι,
Πότης Μιχαὴλ, καὶ Θεοῦ λαμπρὰ δόσις
Μακεδὼν Βασίλειος, καὶ σοφὸς Λέων,
Ἀλέξανδρός τε Ῥωμανὸς, Ἐκλεκάπης.
Ὁ πορφυρανθὴς εὐσεβὴς Κωνσταντῖνος,
Νέος Ῥωμανὸς καὶ Φωκᾶς, Νικηφόρος,
Λαμπρὸς στρατηγὸς Τζιμισχῆς Ἰωάννης,
Καὶ Βασίλειος ὁ καὶ Βουλγαροκτόνος.
Ὁ Κωνσταντῖνος σύγγονος Βασιλέως.
Ἄλλος Ῥωμανὸς, ἀργυρόπουλον λέγω.
Διττοὶ Μιχαὴλ, Παφλαγὼν Καλαφάτης,
Καὶ Κωνσταντῖνος ἐκ γένους μονομάχος,
Γέρων Μιχαὴλ, Πορφύρας Θεοδώρα.
Πρῶτος Κομνηνὸς, Ἰσαάκιον λέγω,
Καὶ Κωνσταντῖνος, τῶν Δουκῶν ἀρχὴ πάλιν.
Κλεινὸς στρατηγὸς Ῥωμανὸς Διογένης.
Παραπινάκης Μιχαὴλ γόνος Δούκα,
Βοτανειάτης ἔκλυτος Νικηφόρος.
Κομνηνὸς, Ἀλέξιος ἀριστεὺς μέγας.
Ὁ βασιλικὸς Ἀνδρέας, Ἰωάννης,
Καὶ πορφυρανθὴς Μανουὴλ βριαρόχειρ,
Ἀλέξιος γόνος τε σὺν Ἀνδρονίκῳ.
Ἰσαάκιος γηγενὴς ἐξ ἀγγέλων,
Ἀλέξιος ὅμαιμος Ἰσαακίου.
Υἱωνὸς Ἀλέξιος σὺν τῷ Μουρζούφλῳ,
Ἐφ᾽ ὧν Λατίνοις ὑποτάσσεται πόλις.
Θεόδωρος Λάσκαρις ἀνὴρ γεννάδας.
Δούκας βριαρὸς, Βατάτζης Ἰωάννης,
Θεόδωρος Λάσκαρις παῖς Ἰωάννου,
Στερρὸς Μιχαὴλ Παλαιολόγος μέγας,
Ὃς Λατίνους ἔξωσε τῆς Κωνσταντίνου.
Τῆς εὐσεβείας Ἀνδρόνικος ὁ στύλος,
Ἀσύγκριτος νοῦς, ἐξηρημένη φύσις,
Λαμπρὸς Μιχαὴλ Παλαιολόγος τρίτος
Ὄντως βασιλεὺς καὶ λόγοις καὶ πρακτέοις,
Ἀνδρόνικος παῖς συνδρομὴ τῶν χαρίτων.

Προσθήκη τοῦ ἐλλείποντος.

Ἰωάννης τέταρτος Παλαιολόγος,
Καντακουζηνὸς Ἰωάννης ὁ πέμπτος,
Ἰωάννης τε τέταρτος ἐκ δευτέρου,
Μανουὴλ ὁ δεύτερος Παλαιολόγος.
Παλαιολόγος ὁ ἕκτος Ἰωάννης,
Οὗ αὐτάδελφος δέκατος Κωνσταντῖνος
Βασιλεὺς οἰκτρὸς τῶν οἰκτίστων Ῥωμαίων,
Ἐφ᾽ οὗ ἑάλω δύστηνος νέα Ῥώμη
Ὑπὸ Μωάμεθ δευτέρου τοῦ Φατίχη.
Ὃς πρῶτος Ἄναξ πόλεως ἐγεγόνει,
Τὴν διαδοχὴν λιπὼν τῆς βασιλείας,
Τῷ υἱῷ αὐτοῦ Μπαγιαζίτῃ δευτέρῳ,
Ὅνπερ διεδέξατο Σελὴμ ὁ πρῶτος,
Οὗ Σουλεϊμᾶν ὁ Κανονὴς τοὐπίκλην,
Γίγνεται ἀρχῆς γνήσιος κληρονόμος,
Μεθ᾽ ὃν ὁ υἱὸς αὐταρχεῖ Σελὴμ μόνος
Αἴγυπτον πορθῶν, καὶ τρόπαια ἐγείρων.
Ἔπειτα Μουρὰτ τὰ τῆς ἀρχῆς κληροῦται.
Ὁ δὲ τούτου παῖς ὁ Μωάμεθ ὁ τρίτος
Τῆς βασιλείας γίνεται κληρονόμος.
Ὁ Πρεσβύτερος τῶν δ᾽ υἱέων Μωάμεθ
Ἀχμὲτ δεύτερος καθίσαται σκηπτοῦχος
Μεθ᾽ ὃν ἀδελφὸς ὁ Μουσταφᾶς ὁ πρῶτος
Ἐπ᾽ ἐλαχίστῳ τὰ τῆς ἀρχῆς ἰθύνας,
Ἀπεστερήθη τοῦ Βασιλέως κράτους.
Ὁ δ᾽ ἀδελφιδοῦς ὁ δεύτερος Ὀσμάνης,

Ὁ Πρεσβύτερος τῶν υἱῶν τοῦ Ἀχμέτη
Τῆς βασιλείας καθίσταται αὐτάρχης.
Οὗτινος Ὀσμὰν ἄπαιδος τεθνηκότος
Μουσταφᾶς πρῶτος ἀνάσσει ἐκ δευτέρου.
Ὃς καθαιρεθεὶς τῆς ἀρχῆς ἐν ὀλίγῳ,
Στρατοῦ πάρεργον γίνεται παροινίας
Ἔπειτα Μουρὰτ ὁ υἱὸς τοῦ Ἀχμέτη,
Καλῶς σκηπτουχῶν, Βαβυλῶνα χειροῦται.
Θανὼν δ' ἔπειτα, κατέλιπε τὸν θρόνον
Τῷ αὐταδέλφῳ Ἰπραχίμου τῷ πρώτῳ,
Ὅστις ἐκβληθεὶς τῆς ἀρχῆς παναθλίως,
Τῷ υἱῷ αὐτοῦ Μωάμεθ τῷ τετάρτῳ.
Ἑπτέτῃ ὄντι τὴν ἀρχὴν ἐγχειρίζει.
Καὶ τούτου δ' αὖθις ἐξωσθέντος τοῦ θρόνου
Ἀδελφὸς αὐτοῦ κλῆσιν Σουλεϊμάνης
Ἀναζώννυται κράτος τῆς βασιλείας,
Μεθ' ὃν Ἀχμέτης δεύτερος βασιλεύει.
Εἶτα Μουσταφᾶς δεύτερος, παῖς Μωάμεθ,
Οὗ ἐκπεσόντος, ἀντεισήχθη Ἀχμέτης
Ἀδελφὸς αὐτοῦ, τρίτος τῇ τάξει πέλων,
Μεθ' ὃν Μαχμούτης πρῶτος ἐβασίλευσεν,
Υἱὸς ἄνακτος Μουσταφᾶ τοῦ δευτέρου.
Εἶτα Ὀσμάνης τρίτος, αὐτοῦ ὁμαίμων
Οἵτινες ἀμφότεροι ἄπαιδες ὄντες,
Τῷ ἐξαδέλφῳ τῷ Μουσταφᾷ τῷ τρίτῳ,
Υἱῷ τοῦ Ἀχμὲτ λελοίπασι τὸ κράτος,
Μεθ' ὃν αὐταρχεῖ πρῶτος Ἀπτιλχαμίτης,
Ἀδελφὸς αὐτοῦ, υἱὸς δὲ τοῦ Ἀχμέτη
Καὶ τούτου δὲ θανόντος, Σελὴμ ὁ τρίτος.
Ὁ τοῦ Μουσταφᾶ, εὐκλεῶς βασιλεύει.

Καὶ Πατριάρχας τῆς νέ-
ας Ῥώμης βλέπε.

Ἀρχιθύτης πρώτιστος ἐν πόλει μέγας,
Ἄριστος ἀνὴρ ἱερὸς Μητροφάνης.
Εἶτ' Ἀλέξανδρος, εὐσεβῶν στύλος Παῦλος,
Μεθ' ὃν Μακεδόνιος πνευματομάχος.
Ἄθλιος Εὐσέβιος Νικομηδείας.
Ἄδοξος Εὐδόξιος Ἄρειος νέος,
Ἴσος τε Δημόφιλος σὺν Εὐαγρίῳ.
Ὁ γρήγορος νοῦς, γλυκύτης Νεκταρίου.
Τὸ χρύσεον χάρισμα τοῦ Χρυσοστόμου,
Γέρων ὁ Ἀρσάκιος, Ἀττικὸς πάλιν.
Σισίνιος φρύαγμα τοῦ Νεστορίου.
Μαξιμιανὸς, Πρόκλος ὁ Χρυσοστόμου.
Ὁ Φλαβιανὸς, Ἀνατόλιος θύτης.
Ὁ Γεννάδιος ἀνδρικὸς καὶ γεννάδας,
Ὁ κακὸς Ἀκάκιος, Φλαβίτας ἴσος.
Σὺν Εὐφημίῳ, Μακεδονίου κλέος.
Τιμόθεος ἄτιμος Θεοπασχίτης,
Τῶν Καππαδοκῶν ἡ χάρις Ἰωάννης,
Μεθ' οὓς Ἐπιφάνιος ψύξις Ἀνθίμου.
Ὁ Μηνᾶς, Εὐτύχιος εὐδαίμων λίαν,
Σχολαστικός τε τὴν θέσιν Ἰωάννης,
Εὐτύχιος, πάλιν δὲ Νηστευτοῦ χάρις.
Ὁ Κυριακὸς, καὶ Θωμᾶς ὄντως θύται,
Σέργιος, Πύῤῥος, Παῦλος μονοθελῆται.
Πάλιν ὁ Πύῤῥος, καὶ φρανῶν ταῦτα Πέτρος,
Θωμᾶς ὁ λαμπρὸς, δυστυχὴς Ἰωάννης.
Καὶ Κωνσταντῖνος, σὺν καλῷ Θεοδώρῳ.
Ὁ Γεώργιος, καὶ Θεόδωρος πάλιν,
Παῦλος, ὁ Καλλίνικος, ἔγκλειστος Κύρος
Μονοθελήτης ἄχαρις Ἰωάννης.

Καὶ



Θεῖος Γερμανὸς, πτῶσις Ἀναστασίου,
Καὶ Κωνσταντῖνος, Νικήτας ὁ Θλαδίας,
Κύπριος Παῦλος, πάντες εἰκονομάχοι.
Ταράσιος μέγιστος, ὁ Νικηφόρος.
Ἄθλιος Θεόδοτος σὺν Ἀντωνίῳ,
Καὶ Ἰωάννης, πάντες εἰκονομάχοι.
Μέγιστος Μεθόδιος σὺν Ἰγνατίῳ,
Φώτιος, Ἰγνάτιος, Φώτιος πάλιν.
Στέφανος, Ἀντώνιος σὺν Νικολάῳ.
Εὐθύμιός τε, καὶ Νικόλαος πάλιν.
Ἀματείας, Στέφανος, καὶ Τρύφων γέρων.
Μεθ' ὃν Θεοφύλακτος ἄνακτος γόνος,
Ὁ πολύευκτος Βασίλειος Σκαμάνδρου,
Ἔντιμος Ἀντώνιος ἀπὸ Στουδίων,
Ὁ Νικόλαος, καὶ Σισίννιος θύτης.
Σέργιος, Εὐστάθιος, ἅμ' Ἀλεξίῳ.
Καλὸς Μιχαὴλ, λειχούδης Κωνσταντῖνος.
Ἰωάννης ἄριστος, ὁ Ξιφιλῖνος.
Καὶ Κοσμᾶς, Εὐστράτιος Γαριδᾶς θέσιν.
Χάρις Θεοπρόβλητος ἡ Νικολάου,
Ὁ Ἀγαπητὸς τοὐπίκλην Ἰωάννης.
Λέων ὁ Στυπῆς, καὶ Μιχαὴλ Ὀξείτης,
Κοσμᾶς Ἀττικὸς, Νικόλαος Μουζάλων.
Ὁ Θεόδοτος, χλιαρῶν Κωνσταντῖνος,
Λουκᾶς, Μιχαὴλ Ἀγχιάλου, χαρίτων
Ἔννους Θεοδόσιος, σὺν Βασιλείῳ.
Ὁ Μουντάνης τε, Νικήτας ὁ τριγέρων,
Ὁ Λεόντιος, ἡ στάσις Δοσιθέου,
Καὶ Γεώργιος ἱερὸς Ξιφιλῖνος.
Ὁ καματηρὸς εὐλαβὴς Ἰωάννης.
Ἐφ' οὗ πόλις ἔκλινε Λατίνοις κάρα.
Αὐτωρειανὸς Μιχαὴλ ἐν Νικαίᾳ.

Θεόδωρος, Μάξιμος ἐξ ἀκοιμήτων,
Μανουὴλ φιλόσοφος, Γερμανὸς μέγας.
Καὶ Μεθόδιος, Μανουὴλ ἄλλος πάλιν.
Ἀρσένιος ἄριστος ἐν ἀρχιθύταις,
Τῆς Ἐφέσου πρόεδρος ὁ Νικηφόρος.
Πρώτιστος Ἀρσένιος αὖθις ἐν πόλει,
Τῆς Ἀδριανοῦ Γερμανὸς ἀρχιθύτης.
Μέγας Ἰωσὴφ ὁμολογίας στύλος,
Καὶ Λατινόφρων Ἰωάννης ὁ Βέκκος.
Πάλιν Ἰωσὴφ, Γρηγόριος Κυπρόθεν.
Ἔπειτ' Ἀθανάσιος ἀνὴρ γεννάδας.
Ἰωάννης ἄριστος ὁ πρᾶος φύσει.
Πάλιν Ἀθανάσιος ἐξ ἡσυχίας.
Νήφων Κυζίκου, καὶ γλυκὺς Ἰωάννης.
Καὶ Γεράσιμος, μαργάνων Ἡσαΐας.
Ἀκινδυνόφρων δυσσεβὴς Ἰωάννης.
Ὁ θεῖος Ἰσίδωρος εὐσεβῶν κλέος.
Κάλλιστος ὁ κράτιστος ἐξ ἡσυχίας.
Καὶ Φιλόθεος Θεῷ τῷ ὄντι φίλος.

Προσθήκη τοῦ ἐλλείποντος.

Κάλλιστος αὖθις, καὶ Φιλόθεος πάλιν,
Καὶ Μακάριος, καὶ Νεῖλος Χρυσοῤῥόας,
Εἶτ' Ἀντώνιος, εὐσεβὴς Κάλλιστός τε.
Μεθ' ὃν Ματθαῖος, συνάμα Εὐθυμίῳ.
Καὶ Ἰωσὴφ δὲ θανὼν ἐν Φλωρεντίᾳ.
Ὁ Λατινόφρων Μητροφάνης Κυζίκου.
Μελισσηνός τις Γρηγόριος ὁμόφρων.
Μεθ' ὃν Ἀθανάσιος εὐσεβὴς λίαν,
Ἐφ' οὗ ἑάλω ἡ πόλις Κωνσταντίνου.
Γεννάδιος ὢν ὁ σχολάριος πρῶτος
Πηδαλιουχεῖ, μεθ' ὃν Ἰσίδωρός τε
Φημιζόμενος ἀπὸ τῶν Ξανθοπούλων.

Καὶ Σωφρόνιος ὁ Συρόπουλος εἶτα,
Ὅνπερ διεδέξατο ὁ Ἰωάσαφ
Κόκκας τοὐπίκλην, Μάρκος Ξυλοκαράβης,
Συμεὼν εἶτα ὁ ὢν ἐκ Τραπεζοῦντος,
Εἶτα Διονύσιος ἀπὸ Φιλίππου,
Συμεὼν αὖθις, καὶ Ῥαφαὴλ ὁ Σέρβος,
Μάξιμος σοφώτατος, ἀρετῆς πλέως,
Νήφων, Διονύσιος, Μάξιμος τρίτος,
Αὖθις νήφων δὲ, καὶ Ἰωακεὶμ δράμας
Παχώμιός τε, καὶ Ἰωακεὶμ πάλιν,
Καὶ αὖθις Παχώμιος, Θεόληπτός τε
Ἱερεμίας σὺν Ἰωαννικίῳ,
Ἱερεμίας θ' ἅμα Διονυσίῳ,
Καὶ Ἀδριανοῦ πόλεως Ἰωάσαφ,
Καὶ Μητροφάνης ὁ ἀπὸ Καισαρείας,
Ἱερεμίας ἄλλος ἀπὸ Λαρίσσης,
Μετὰ δὲ τοῦτον πάλιν ὁ Μητροφάνης,
Καὶ Ἱερεμίας δὲ ὁ αὐτὸς αὖθις,
Ἔπειτα Παχώμιος Λέσβιος γένος,
Θεόληπτός τε, Ἱερεμίας τρίτον,
Ματθαῖος εἶτα, Γαβριὴλ, Θεοφάνης,
Καὶ Μελέτιος πηγᾶς τοποτηρήσας,
Ματθαῖος αὖθις, Ἀθηνῶν Νεόφυτος
Ματθαῖος πάλιν, Ῥαφαὴλ, Νεόφυτος
Σὺν Τιμοθέῳ, Νεόφυτος τὸ τρίτον
Κύριλλος ὁ Λούκαρις ὁ Καλβινόφρων,
Τιμόθεος αὖθίς τε, Κύριλλος πάλιν,
Γρηγόριος τέταρτος ὁ Ἀμασείας,
Ἀδριανοῦ Ἄνθιμος, Κύριλλος τρίτον,
Πατελάριος Ἀθανάσιος τρίτος,
Μεθ' ὃν Κύριλλος Λούκαρις ἐκ τετάρτου,
Καὶ Κύριλλος δεύτερος ἀπὸ Βερροίας

Καὶ πάλιν ὁ Λούκαρις ἔστη τὸ πέμπτον,
Νεόφυτος τρίτος τε ὁ Ἡρακλείας,
Κύριλλος ἕκτον ὁ Λούκαρις τὴν θέσιν,
Καὶ Κύριλλος δὲ δεύτερος ἐκ δευτέρου,
Ὁ Ἀδριανοῦ Παρθένιος ὁ γέρων,
Καὶ ἄλλος Παρθένιος ὀξὺς τοὐπίκλην,
Καὶ Ἰωαννίκιος ὁ Ἡρακλείας,
Παρθένιός τε ὁ δεύτερος ἐσαῦθις,
Καὶ Ἰωαννίκιος ὁ αὐτὸς πάλιν,
Καὶ Κύριλλος δὲ Κορίνθου, ἢ Τορνόβου,
Πάλιν Ἀθανάσιος, Παΐσιός τε,
Καὶ Ἰωαννίκιος, Κύριλλος αὖθις,
Παΐσιός τε σὺν Ἰωαννικίῳ,
Χῖός τε Παρθένιος, Γαβριὴλ Γάνου,
Παρθένιος τέταρτος ὁ μογιλάλος,
Διονύσιος τρίτος ἀπὸ Λαρίσσης,
Παρθένιος αὖθίς τε, Κλήμης ὁ πρῶτος,
Μεθόδιος τρίτος τε ὁ Ἡρακλείας,
Καὶ Παρθένιος ὁ τέταρτος τὸ τρίτον,
Διονύσιος τοὐπίκλην μουσελίμης,
Γεράσιμος δεύτερος, Παρθένιός τε
Ὁ αὐτὸς πάλιν, Διονύσιος αὖθις,
Εἶτα Ἀθανάσιος Ῥεδαισοῦ θύτης,
Καὶ Ἰάκωβος Χῖος ἀπὸ Λαρίσσης,
Διονύσιος, καὶ Παρθένιος πάλιν,
Ἰάκωβός τε, Διονύσιος αὖθις,
Τρίτον τε Ἰάκωβος, σὺν Καλλινίκῳ,
Καὶ Νεόφυτος ἐκ παλαιᾶς ἠπείρου
Πρόεδρος κλεινὸς κλεινῆς Ὀρεσιάδος.
Ὁ Καλλίνικος δεύτερος ἐκ δευτέρου,
Πάλιν Διονύσιος, Καλλίνικός τε,
Γαβριὴλ τρίτος, Κυπριανὸς ὁ πρῶτος.



Ἀδριανοῦ κρὴς Ἀθανάσιος πέμπτος,
Κύριλλος ὁ τέταρτος ἀπὸ Κυζίκου
Κυπριανὸς αὖθις δὲ, Κοσμᾶς Σιναΐου
Ἱερεμίας ὁ ἀπὸ Καισαρείας,
Παΐσιός τε ἀπὸ Νικομηδείας,
Ἱερεμίας πάλιν, Σεραφεὶμ πρῶτος,
Καὶ Νεόφυτος ὁ ἀπὸ Καισαρείας,
Παΐσιος δεύτερον, Νεόφυτός τε,
Καὶ πάλιν Παΐσιος, Κύριλλος πέμπτος,
Τέταρτον Παΐσιος, Κύριλλος αὖθις,
Τρίτος τε Καλλίνικος ὁ Προϊλάβου,
Καὶ Σεραφεὶμ δεύτερος ἀπὸ Φιλίππου
Καὶ Ἰωαννίκιος ὁ Χαλκηδόνος,
Κλεινὸς Σαμουὴλ πρῶτος ὁ ἀπὸ Δέρκων,
Ὧ, χάρις κείσθω ἀρχικῶν προνομίων,
Καὶ Μελέτιος Τουέδιος Λαρίσσης,
Πάρεργον γενόμενος καιροῦ βραχέως,
Θεοδόσιος ἀπὸ Θεσσαλονίκης,
Σαμουὴλ αὖθις, καὶ Σωφρόνιος εἶτα
Ὁ Πατριάρχης τῶν Ἱεροσολύμων,
Ἀρίγνωτος ὢν ἀρετῇ καὶ μαθήσει,
Ἐν τῷ θρόνῳ τέθνηκε, καλῶς ποιμάνας.
Καὶ Γαβριὴλ δὲ ἐκ πατρῶν μετεκλήθη
Σμύρνης γέννημα τῆς καλλιχθόνου πόλεως.
Καὶ Προκόπιος ὁ ἐκ Πελοποννήσου.
Νεόφυτός τε ὁ ἀπὸ Μαρωνείας,
Καὶ Δέρκων Γεράσιμος τῆς Κύπρου γένος,
Γρηγόριός τε πέμπτος ὁ ἀπὸ Σμύρνης,
Πατριαρχεῖα ἐκ βάθρων ἀνακτίσας,
Καὶ κατασήσας τυπογραφεῖον τόδε,
Καὶ πάλιν Νεόφυτος ἐξ ἡσυχίας,
Καλλίνικος τέταρτος ἐκ Βιθυνίας

Ἀδριανοῦ πρὶν, εἶτα δὲ καὶ Νικαίας,
Ἐγκρίτοις θρόνοις καλῶς ἐνδιαπρέψας,
Πηδαλιοῦχος κατέστη ἐν ὑστέροις,
Ὃν στεροῖ Κύριος εἰς χρόνους πλείους.

## ΠΡΟΣΘΗΚΗ ΝΕΑ

Νῦν δ' ἄγε μοι θέασαι τοὺς ἑρμηνέας,
τοὺς ὀρθοδόξους, τοῦ βασιλείου κράτους.
Πρῶτος ἑρμηνεὺς θέσθω παναγιωτάκης
Πρὸ γὰρ ἐκείνου οὐδεὶς τῶν ἡμετέρων
Καθιστᾶται εὐκλεῶς ἑρμηνεῦσαι.
Εἰκοσὸν τοίνυν ἔτος, καὶ ἐπέκεινα
Διακοσμήσας τὸν βαθμὸν, λείπει φάος,
Μεθ' ὃν ὁ Ἀλέξανδρος μαυροκορδάτος,
Πατρόθεν Χῖος, Βυζάντιος μητρόθεν
Διερμηνεὺς δείκνυται ἐξ ἀπορρήτων,
Εἶτα ὁ Νικόλαος, καὶ Ἰωάννης
Παῖδες ἐκείνου ἑρμηνεῖς καθιστῶνται,
Κατ' οὐδὲν λειπόμενοι πατρῴας δόξης.
Ὧν Ἀδελφιδοῦς Γρηγόριος ὁ Γκίκας,
Ἐπιδράττεται ἀξίως τῆς ἀξίας,
Ἔπειτα Ἀλέξανδρος τούτου ὅμαιμων,
Εἶτ' Ἰωάννης τοὐπίκλην Καλλιμάχης,
Ὅλους ἕνδεκα χρόνους διερμηνεύσας,
Παρεξετράπη τῆς εὐκλεοῦς ἀξίας,
Ὁ δεύτερος δὲ τῶν υἱῶν Γρηγορίου,
Ματαίως Γκίκας ἑρμηνεὺς χρηματίζει.
Καὶ Ἰωάννης αὖθις ὁ Καλλιμάχης,
Ἀνακαλεῖται κοσμήτωρ τῆς ἀξίας,
Μεθ' ὃν ὁ υἱὸς Ἀλεξάνδρου τοῦ Γκίκα,
Ὁ Γρηγόριος εὐκλεῶς ἑρμηνεύει,
Εἶτα δὲ Γεώργιος Σκαρλάτου γένος,
Ὁ τοῦ Καρατζᾶ ἑρμηνεὺς καθιστᾶται.

SISMANOGLIO MEGARO

Λοιμῷ δὲ τούτου πρὸ ὥρας ἁρπασθέντος
Ὁ Πατὴρ αὐτοῦ γέρων διερμηνεύει,
Ἔπειθ᾽ ὁ Νικόλαος τοὐπίκλην Σοῦτζος,
Μεθ᾽ ὃν Μιχαὴλ τὸ γένος Ῥακοβίτζας.
Αὖθις ὁ γέρων Σκαρλάτος ἀντεισήχθη,
Ἑξῆς δὲ Ἀλέξανδρος ὁ Ὑψηλάντης,
Ὀλίγαις πάνυ ἡμέραις διαπρέψας.
Κληροδοτεῖται τὸν τῆς Δακίας θρόνον,
Καὶ γίνεται δὲ τῆς ἀξίας κοσμήτωρ.
Ὁ Κωνσταντῖνος καλούμενος Μουρούζης.
Ὃν προαχθέντα εἰς θρόνον Μολδαβίας,
Ὁ Νικόλαος Καρατζᾶς Κωνσταντίνου.
Διεδέξατο, καλῶς διερμηνεύσας.
Μεθ᾽ ὃν Μιχαὴλ Σοῦτζος διερμηνεύει,
Ἔπειτα Ἀλέξανδρος Μαυροκορδάτος,
Εἶθ᾽ ὁμώνυμος ἐκείνῳ Καλλιμάχης.
Μεθ᾽ ὃν γίνεται Κωνσταντῖνος Ῥαλέτος,
Καὶ Μανουὴλ δὲ Καρατζᾶς Ἀντιόχου,
Ἑξῆς δὲ Ἀλέξανδρος ὁ τῶν υἱέων
Τοῦ Κωνσταντίνου Μουρούζη Πρεσβύτερος,
Ὃς διεδεγμένος τὸν θρόνον Μολδαβίας
Λείπει ἀξίως διάδοχον τὸν τρίτον
Ἀδελφὸν αὐτοῦ Γεώργιον Μουρούζην,
Μεθ᾽ ὃν ὁ Ἀλέξανδρος ὁ Καλλιμάχης.
Ἀνακαλεῖται εὐκλεῶς αὖθις πάνυ,
Ἔπειθ᾽ ὁ αὐτὸς Γεώργιος Μουρούζης,
Καὶ Κωνσταντῖνος τὸ γένος Ὑψηλάντης,
Οὗ ἀναχθέντος τῷ Μολδαβίας θρόνῳ.
Ὁ Ἀλέξανδρος Σοῦτζος ὁ Νικολάου,
Ταύτης κοσμήτωρ γίνεται τῆς ἀξίας,
Τὸν Μολδαβίας δὲ καὶ οὗτος κληρουχήσας.
Λέλοιπεν αὐτοῦ διάδοχον Σκαρλάτον
Τοῦ Ἀλεξάνδρου τοὐπίκλην Καλλιμάχην.
Ὦ, τίνι δώῃ ἄξιον γέρας Θεός,
Τῆς εἰς τὰ καλὰ τοῦ γένους προμηθείας.

✵ ✵ ✵ ✵ ✵ ✵ ✵ ✵ ✵ ✵ ✵ ✵ ✵ ✵ ✵ ✵

## Χριστοῦ γενεαλογία.

Ἀδὰμ δύο μάνθανε τὴν σειρὰν γένους,
Θνητοῦ παλαιοῦ καὶ νέου ζωοβρύτου.

Ἀδάμ, Σήθ, Ἐνώς, Καϊνᾶν θεῖον γένος.
Ὁ Μαλελεήλ, Ἰάρεδ, Ἐνὼχ πνέων.
Μαθουσάλα, Λάμεχ τε, δέκατος Νῶε
Ὁ Σήμ, Ἀρφαξάδ, Καϊνᾶν, Σαλὰ πάλιν.
Ἔβερ ὁ Φαλέκ, ὁ Ῥαγαῦ τε, καὶ Σερούχ.
Ναχώρ, ὁ Θάρρα οὓς δέκα κατὰ λόγον.
Ἔπειθ᾽ Ἀβραάμ, Ἰσαὰκ φίλος γόνος.
Ἰακὼβ ἁπλοῦς, Ἰούδας ἐν συγγόνοις.
Ἐξ οὗ Φαρές τε καὶ Ζαρᾶ Θάμαρ ἄπο.
Ὁ Φαρὲς Ἐσρώμ, ὁ δ᾽ Ἀρὰμ γονεῖ πάλιν,
Ἀμιναδάβ τε, Ναασσών, ὁ Σαλμών τε.
Βοὸζ ἐκ Ῥαχάβ, ὁ δ᾽ Ὠβὴδ ἐκ Ῥοὺθ ἔφυ.
Ὠβήδ, Ἰεσσαί, βασιλεὺς Δαβὶδ μέγας.
Ἐξ Οὐρίου δὲ Σολομὼν Δαβὶδ γόνος.
Ἐξ οὗ Ῥοβοάμ, Ἀβιά, καὶ Ἀσσᾶ τε,
Ὁ δ᾽ Ἰωσαφάτ, Ἰωράμ, Ὀχοζίας,
Ἰωάθαμ, Ἄχαζ τε, καὶ Ἐζεκίας,
Μανασσῆς, Ἀμώς, ὁ καλὸς Ἰωσίας,
Ὁ Ἰεχονίας τε τεχθεὶς Περσίδι.
Ὁ Σαλαθιήλ, καὶ Ζοροβάβελ πάλιν.
Ὁ Ἀβιούδ, Ἐλιακείμ, Ἀζὼρ γόνος.
Ὁ Σαδώκ, Ἀχείμ, Ἐλιούδ, Ἐλεάζαρ
Ματθάν, Ἰακώβ, Ἰωσὴφ ἐν ὑστάτοις.
Μνήστωρ Μαριάμ, καὶ δοκῶν Χριστοῦ φύντης,
Οὕτω Ματθαῖος ἐκ Δαβὶδ Χριστὸν φέρει,



Τῆς βασιλικῆς ἐκ φυλῆς κατηγμένον.
Ὁ δ᾽ αὖ γε Λουκᾶς ἱερᾶς φύτλης πέλας
Τῆς Λευϊτικῆς ἐκ Δαβὶδ ὅμως φέρει,
Οὗ καὶ χάρις ὤεσι καὶ πλεῖον λόγος
Ἀνὰ πόδα βαίνοντε καὶ προηγμένες.
Ἐκ γὰρ Δαβὶδ πάρεισι Σολομών, Νάθαν,
Ἐξ οὗ Λουκᾶς δίδωσιν Ἰωσὴφ γένους,
Ἴσον δὲ φάναι καὶ Θεοῦ μητρὸς χάριν.
Νάθαν γὰρ αὐτὸς τὸν Ματθὰν εἰς φῶς φέρει,
Ἀφ᾽ οὗ Μαϊνᾶν, Μελεά, Ἐλιακείμ τε,
Ὁ Ἰαννᾶν, Ἰωσήφ τε, καὶ Ἰούδας.
Συμεών, Λευΐ, καὶ Ματθάν, Ἰωρείμ τε.
Ἐλιέζερ, Ἰωσήφ, Ἤρ, Ἐλμωδὰμ πάλιν.
Ὁ Κωσάμ, Ἀδδί, ὁ Πελχί τε καὶ Νηρί,
Ὁ Σαλαθιήλ, καὶ Ζοροβάβελ γόνος.
Ὁ Ῥησᾶς αὐτός, Ἰωνᾶν, καὶ Ἰούδας.
Ὁ Σώκ, Σεμεΐ, λαμπρότατος Ματθίας,
Μαάθ, ὁ Ναγγαί, ὁ Ἐσλί τε, καὶ Ναούμ.
Ἀμώς, Ματθίας, Ἰωσήφ, καὶ Ἰάννας.
Ὁ Μελχί, Λευΐ, καὶ Ματθάν, Ἠλεὶ πάλιν,
Ἐξ ὧν Ἰωσήφ, καὶ Χριστὸς Ἀδὰμ νέος.

Ἓξ πρὸς δέκα μάνθανε
καὶ τοὺς προφήτας.

Ὁ Ὠσηὲ πρώτιστος, Ἀμώς, Μιχαίας
Ἔπειτ᾽ Ἰωήλ, Ἰωνᾶς, Ἀβδιού τε,
Ναούμ, Ἀββακούμ, καὶ σοφὸς Σοφονίας.
Ὁ Ἀγγαῖος, Ζαχαρίας τε, καὶ Μαλαχί-
Ἡσαΐας μέγιστος, Ἱερεμίας. (ας,
Ἰεζεκιήλ, καὶ Δανιὴλ ἡ χάρις.

Καὶ τοὺς μαθητὰς τοῦ Χρι-
στοῦ μάνθανέ μοι.

Πέτρος, Ἀνδρέας ἀδελφῶν ζυγὰς μία,
Ἰωάννης ἔπειτα σὺν Ἰακώβῳ.
Πέμπτος Φίλιππος, ἕκτος Βαρθολομαῖος,
Ματθαῖος, Θωμᾶς, Ἰάκωβος Ἀλφαίου·
Σίμων, Ἰούδας, καὶ προδότης Ἰούδας.

Ἑβδομήκοντα τοῦ Χριστοῦ μυστηπόλοι.

Ἀδελφὸς Ἰάκωβος τοῦ Θεοῦ λόγου.
Εἶτα Κλεώπας, καὶ τρίτος ὁ Ματθίας,
Μεθ᾽ ὃν Θαδδαῖος, ἡ χάρις Ἀνανίου,
Στέφανος, καὶ Φίλιππος ἐκ διακόνων,
Ὁ Νικάνωρ, Πρόχορος, δέκατος Σίμων.
Παρμενᾶς, Νικόλαος, Βαρνάβας, Σίλας,
Μάρκος, ὁ Λουκᾶς οἱ γραφεῖς Χριστοῦ λόγων.
Ὁ Σιλουανός, Ἐπαινετός, ὁ Κρίσκης.
Εἰκοστὸς Ἀνδρόνικος, Ἀμπλίας πάλιν,
Μεθ᾽ ὃν Οὐρβανός, καὶ Στάχυς Βυζαντίων
Ἀπελλῆς, ὁ Φύγελλος, ἅμ᾽ Ἑρμογένει,
Δημᾶς, Ἀριστόβουλος, Ἀπελλῆς πάλιν
Τριακοστὸς Νάρκισσος, εἶθ᾽ Ἡρωδίων,
Ἄγαβος, Ῥοῦφος, Ἀσύγκριτος, ὁ Φλέγων·
Ἑρμῆς, Πατροβᾶς, Ἑρμᾶς τε, καὶ ὁ Λῖνος·
Γάϊος, Φιλόλογος, Ὀλυμπᾶ χάρις.
Ῥοδίων, Λουκᾶς, Ἰάσων, Σωσίπατρος.
Ὁ Τέρτιος, Ἔραστος, Κούαρτος ἅμα.
Ἔπειθ᾽ Ἀπολλώς, καὶ Κηφᾶς, καὶ Σωσθένης,
Καῖσαρ, Τυχικός, Μάρκος ὁ τοῦ Βαρνάβα,
Ἰοῦστος, Ἐπαφρόδιτος, Ἀρτεμᾶς, Κλήμης·
Εἶθ᾽ ἑξηκοστός, Ὀνησιφόρου χάρις.
Ἄλλος Τυχικός, Κάρπος, Εὔοδος πάλιν,
Ἄριστος Ἀρίσταρχος, καὶ Μάρκος τρίτος.
Ζηνᾶς, Φιλήμων, Ἀρίσταρχος, ὁ Πούδης
Ἑβδομηκοστὸς δ᾽ ὁ Τρόφιμος εὑρέθη.
Μεθ᾽ ὧν ὁ Παῦλος συλλεγέσθω προσφόρως

Πρώτοις ἐν αὐτοῖς, καὶ μέγας ἐν ὑστέροις.
Καὶ μετὰ τῶν δώδεκα πρῶτος ὑστέρων,
Τῆς ἐκλογῆς τὸ σκεῦος, Χριστοῦ τὸ στόμα.

Εὐαγγελισταὶ καὶ Διάκονοι.

Εὐαγγελισταὶ τοῦ Θεοῦ μου καὶ λόγου,
Ματθαῖος, Μάρκος, σὺν Λουκᾷ, Ἰωάννης.
Γνώριζε δ' ἑπτὰ καὶ διακόνους λόγου,
Στέφανος, ὁ Πρόχωρος, Φίλιππος τρίτος,
Ὁ Νικάνωρ, Τίμων τε, Παρμενᾶς πάλιν,
Νικόλαος δ' ἕβδομος ἐν διακόνοις.

Αἱ μυροφόροι καὶ μαθήτριαι λόγου.

Πρώτη μὲν ἐστὶ Μαγδαληνὴ Μαρία,
Ἡ δ' Ἰωάννα δευτέρα, καὶ Σαλώμη,
Μήτηρ Ἰωσῆ καὶ Ἰακώβου τρίτη.
Μάρθα, Μαρία σύγγονοι τοῦ Λαζάρου,
Καὶ Σωσάννα δ' ἔπειτ', ἑβδόμη πάλιν,
Ἄλλαι τε πολλαὶ μὴ γραφαῖς γεγραμμέναι.

Εὐαγγελιστῶν ἡ τετρὰς ὅσα γράφει θαύματα Χριστοῦ τοῦ θεανθρώπου λόγου.

Ματθαῖος.

Τὰ Ματθαίου πρώτιστα κείσθω τοῖς λόγοις.
Πρώτιστα λέπραν ἐξιᾶται τῷ λόγῳ,
Καὶ παιδίον ῥώννυσιν ἑκατοντάρχου,
Ὁ πυρετὸς δὲ πενθερᾶς φεύγει Πέτρου,
Βάλλει τε μακρὰν καὶ νόσων ποικιλίας.
Θάλασσαν ἱστᾷ καὶ καταιγίδα ζάλης.
Σὺν ἀγέλῃ χοίρων τε δαίμονας πνίγει,
Παραλυτικὸς τὴν κλίνην ἐπηρμένος,
Αἱμοῤῥοοῦσαν ἐξιᾶται κρασπέδῳ,
Καὶ ζῶσαν δὲ ποιεῖ τὴν Ἰαείρου κόρην.
Τυφλοῖς δὲ δυσὶ τοῦ φάους βρύσιν χέει,
Φεύγει τε δαίμων, καὶ λαλεῖ κωφὸς μέγας,
Ῥήγνυσι δεσμὰ τῆς χειρὸς ἐν σαββάτῳ.
Σατὰν δὲ ; καὶ πύρωσιν αὖθ' ἑνὸς λύει.
Ἐν πέντε δ' ἄρτοις πεντακισχιλίους τρέφει;
Καὶ δώδεκα πίμπλησι φορμοὺς ἐκ κόρου,
Κατὰ θαλάσσης ἀβρόχως διατρέχει.
Πνεῦμα διώκει θυγατρὸς Χαναναίας,
Ἄρτοις δ' ἐν ἑπτὰ τοὺς τετρακισχιλίους
Τρέφει διαρκῶς, ἄτερ ἑπτὰ σπυρίδων.
Μορφὴν ἀμείβει προσβαλὼν Θαβωρίῳ,
Παῖδα διώκει τῶν σελήνης ὀργίων,
Ἐξ Ἱεριχὼ τὸ σκότος τυφλῶν λύει,
Χωλούς τε πηροὺς ὑγιεῖς πράσσει δύο,
Ξηρὰν συκῆν δείκνυσιν ἐξ ἀκαρπίας.
Σταυρῷ δ' ἐπαρθεὶς, φωσφόρον κρύπτει ζό-
Θεῖον καταπέτασμα ῥήγνυται δόμου, (φω,
Ἡ γῆ στροβεῖται, καὶ διχάζονται πέτραι.
Νεκροὶ δὲ πολλοὶ κατέλειψαν τοὺς τάφους,
Αὐτὸς δ' ἀναστὰς ἐν τρισὶ ταῖς ἡμέραις,
Ὤφθη μαθηταῖς ἀλλ' ἐνεργῶν μυρία.

Μάρκος.

Ὁ δ' αὖγε Μάρκος προστίθησι καὶ τάδε.
Τὸν δαίμονα πόῤῥωθεν ἐκβάλλει λόγῳ,
Παραλυτικὸν συνάγει στέγῃ μέσῃ.
Πνεῦμα διώκει τῆς κόρης Φοινικίσσης,
Μογγιλάλου τε τὴν πέδην γλώσσης λύει,
Ἔπειτα τυφλὸς πρὸς τὸ φῶς ἀναβλέπει,
Καὶ Βαρτιμαῖος εἶδεν ἡλίου σέλας.

Λουκᾶς.

Λουκᾶς δὲ πολλὰ συνετῶς διαγράφει.
Καὶ ταῦτα λαλῶν προσφέρει σοι καὶ τάδε
Τὴν ἄγραν ἀθρὰν τὴν καλὴν τῶν ἰχθύων.
Ἐν Ναῒν ἐμπνεῖ τὸν μόνον χήρας γόνον,



Τὴν χρίσασαν μύροις δὲ τῷ λόγῳ χρίει.
Τὴν δ' αὖγε συγκύπτουσαν ὤρθωσε ξένως,
Ὑδρωπικοῦ τε συστολὴν γαστὴρ φέρει,
Καὶ τῶν δέκα λέπρωσιν ἐν λόγῳ ξέει,
Καὶ τ' ἄλλα πάντα προσφυῶς διαγράφει.

Ἰωάννης.

Βροντῆς δ' ὁ παῖς μάλιστα χαίρει τοῖς λόγοις,
Χριστοῦ πρὸ παντὸς οὐ τόσον τερασίοις.
Ὕδωρ πρὸς οἶνον ἐν Κανᾷ γάμῳ στρέφει,
Μακράν τε παράλυσιν ἐν στοᾷ λύει,
Καὶ Σιλωὰμ δείκνυσι τυφλὸν ἐμβλέπειν.
Ζωοῖ λόγῳ Λάζαρον ἐξ Ἅδου φίλον,
Τὸ δ' αὖγε μακρὸν τῆς γραφῆς Ἰωάννου,
Περὶ Θεοῦ λόγοι καὶ πνεύματός θ' ἅμα,
Καὶ διαθήκης ὑστέρας μυστηρίων,
Ἀποκρύφων ἄλλων τε μυστικωτέρων.

Παραβολὰς δ' ἐνταῦθα τεσσάρων ἄθρει εὐαγγελιστῶν τοῖς Θεοῦ λόγοις φίλος.

Ματθαῖος.

Ταύτας Ματθαῖος εὐστόχως διαγράφει,
Πρώτη μὲν οἴκου πρὸς πέτραν ἡδρασμένου,
Σπόρου πεσόντος ὡς ἔτυχεν εἰς χθόνα,
Ἄλλος σπόρος δὲ συμμιγεὶς ζιζανίοις,
Δένδρον μέγα νάπυος ἐκ βραχυτάτου.
Ζύμην ἀλεύρου τοῖς σάτοις κεκρυμμένην,
Ὠνητὸν ἀγρὸν τοῦ χρυσοῦ πολλοῦ χάριν,
Πολύτιμόν τε μαργαρίτην ἐμπόρου.
Πανάγρον αὖθις ἐκ σαγήνης ἰχθύων,
Καὶ τὸ πλανηθὲν ἐξ ἑκατὸν ἀγέλης,
Πολλὴν ὀφειλὴν, τῶν ταλάντων μυρίαν.
Ἄνισον ἴσην ἐργατῶν μισθαρνίαν.
Υἱοὺς ἐναλλὰξ πρὸς λόγους πεπραχότας.
Εἰς ἄμπελον δὴ πατρικοὺς ὠθουμένους,
Κακοὺς γεωργοὺς καὶ φονεῖς τοῦ δεσπότου.
Φίλοι σχέδιοι, καὶ γάμου πανδαισία,
Μωρῶν, φρονίμων παρθένων αἱ λαμπάδες,
Δούλοις νέμων τάλαντα τέχνῃ δεσπότης,
Τὰ δεξιᾶς πρόβατα σὺν εὐωνύμοις.

Μάρκος.

Μάρκος δὲ τούτων τέσσαρας μόνας λέγει,
Διττῶν σπόρων ἄνισον εἰσφορᾶς δόσιν,
Καὶ τῶν λεγόντων ἐκκοπὴν ζιζανίων,
Τοῦ νάπυός τε, καὶ μόρον τοῦ δεσπότου,
Ὃς ἀμπελῶνος εἶχε τὸν κλῆρον μόνος.

Λουκᾶς.

Παραβολὰς πλείστας δὲ Λουκᾶς συγγράφει
Μεθ' ὧν ἀρίθμει καὶ νυνὶ γεγραμμένας,
Πρώτιστος οἶκος ἀσφαλὴς ὑπὲρ πέτρας.
Εὖ πολλὰ παθὼν καὶ φίλων ἐνθεν πλέον,
Λῃσταῖς πεσὼν ἄνθρωπος ἐξ ὁδοιπόρων,
Αἰτῶν ἀκαίρως λαμβάνων ἐκ τῆς βίας,
Ὄντα πονηρὸν τὸν λίθον καὶ σκορπίον,
Οὐ μὴ δίδωσιν ἀντ' ἄρτου καὶ ἰχθύος.
Ἑπτὰ πονηρῶν πνευμάτων συνοικία.
Μένων τε δοῦλος ἐκ γάμου τὸν δεσπότην,
Μετὰ δὲ κόπρον καὶ συκῆν τεμεῖν δέον.
Σάρωσιν οἴκου, καὶ χαρὰ δραχμῆς ξένη.
Πατὴρ ἀσώτου συμπαθὴς ὑπὲρ φύσιν,
Οἰκονόμος τε τῆς καλῆς ἀδικίας
Κλέπτων πρεμηθῶς ἐκ χερῶν ἄλλην χάριν.
Ἕλκη Λαζάρου, καὶ κάμινον πλουσίου.
Κριτὴς ἀδικῶν, καὶ ξένη χήρας βία.
Οἰκτρὸς Τελώνης καὶ Φαρισαίου τύφος
Καὶ μνῶν μερισμὸς, ἰσαριθμεῖ τοῖς δέκα

SISMANOGLIO MEGARO

Τούτοις ὁ Λουκᾶς, ὁ δ᾽ Ἰωάννης μόνος
Οὔκουν λόγον πέπραχε τούτων οὐδόλως,
Ἄλλων δὲ πολλῶν μυστικωτέρων λόγων.

Πράξεις τῶν Ἀποστόλων.

Καὶ πράξεων δὴ τὰ τεράστια σκόπει.
Ἀνέρχεται μὲν εἰς πόλους ὁ δεσπότης,
Ὁ δ᾽ αὖ γε παράκλητος ἔρχεται κάτω.
Καὶ Πέτρος ἀνίστησι χωλὸν ἐν πύλαις.
Ἀνανίας, Σάπφειρα νεκροῦνται ζῶντες,
Βαπτίζεται δὲ πρὸς Φιλίππου Κανδάκης.
Φάος μέγα σβέννυσι τὰς Παύλου κόρας.
Τὸν Αἰνέαν ῥώννυσι Πέτρος ἐκ κλίνης,
Καὶ τῇ Ταβηθᾷ τὴν ψυχὴν πάλιν νέμει,
Σκεῦος μέγα πάνζωον ἄνωθεν βλέπει.
Σφάττει τὸν Ἰάκωβον Ἡρώδης ξίφει.
Τυφλὸν δὲ ποιεῖ τὸν Ἐλύμμαν ὁ Παῦλος,
Χωλάς τε βάσεις συμπεδοῖ πρὸς τὴν λύστρᾳ,
Βάλλει δὲ καὶ Πύθωνος πνεῦμα μακρόθεν,
Σεισμὸς ποδῶν ῥήγνυσι δεσμὰ σὺν Σίλᾳ,
Χρωτὸς τὰ σουδάρια τὰς νόσους λύει,
Ζωοῖ δὲ τὸν Εὔτυχον ἀπὸ θυρίδος.
Πρὸς Ἀγρίππαν, Φήλικα καὶ τὴν Βερνίκην,
Διάλογοι κράτιστοι, καὶ πλοῦς εἰς Ῥώμην,
Ναυάγιον, πρόῤῥησις ἐνθάδε ξένη.
Καὶ τὴν ἔχιδναν εἰς Μελίτην κτιννύει,
Καὶ γαστέρα σφίγγει δὲ πατρὸς Πουπλίου,
Πρὸς τὴν Ῥώμην ἔπειτα διδάσκει τρέχων.

Ἐπιστολαὶ Παύλου.

Ἐπιστολῶν μάνθανε τὰς κλήσεις Παύλου.
Πρὸς Ῥωμαίους πρώτιστα τὴν πρώτην γράφει,
Τὴν δευτέραν τρίτην δὲ πρὸς Κορινθίους,
Ἡ δ᾽ αὖ τετάρτη πρὸς Γαλάτας ἐγράφη,
Πέμπτη δὲ σαφῶς ἐστὶ πρὸς Ἐφεσίους.
Ἕκτην ἔχεις δὲ τὴν πρὸς Φιλιππησίους,
Μετὰ δὲ ταύτην ἐστὶν ἡ πρὸς Ῥοδίους,
Οὓς Κολοσσαεῖς ἐκ Κολοσσοῦ προσγράφει,
Διττὰς μετ᾽ αὐτὰς τοῖς Θεσσαλονικεῦσι.
Πρὸς Τιμόθεον τὰς δύο στέλλει πάλιν,
Πρὸς τὸν Τίτον στέλλει δὲ τὴν δωδεκάτην,
Ἔχεις πρὸς Φιλήμονα τὴν ἄλλην πάλιν,
Ἐν ὑστέροις δὲ τὴν πρὸς Ἑβραίους γράφει,
Οὖσαν δεκάτην καὶ τετάρτην ἐν λόγοις.

Τῆς παλαιᾶς διαθήκης αἱ βίβλοι.

Θείας γραφῆς μάνθανε νῦν τὰ βιβλία.
Τῆς μὲν παλαιᾶς εἰσὶν εἴκοσι δύο.
Πρώτη γένεσις, ἔξοδος δὲ δευτέρα,
Τὸ Λευϊτικὸν, ἀριθμῶν τὸ βιβλίον,
Τὸ δευτερονόμιον, Ἰησοῦς πάλιν,
Οἱ κριταὶ, καὶ Ῥοὺθ, ὀκτάβιβλον ἐνθάδε.
Τῶν βασιλειῶν ἡ μία, καὶ δευτέρα,
Τῶν βασιλειῶν, ἡ τρίτη, καὶ τετάρτη,
Τὰ παραλειπόμενα βίβλους τὰς δύο,
Ἔσδρας τὸ πρῶτον καὶ τὸ δεύτερον πάλιν,
Ἱστορικὰ γνήσια τῆς γραφῆς τάδε.
Ἤδη δέ τινες ἐγκρίνουσι καὶ τάδε
Ἐσθὴρ, Ἰουδὶθ, καὶ Τωβὶτ, ἀλλότριον,
Ταῦθ᾽ ἱστορικὰ, τὰ στιχηρὰ δὲ πάλιν,
Ἰὼβ ὁ Δαβὶδ, καὶ Σολομῶντος τρία,
Ἐκκλησιαστὴς, ᾆσμα, καὶ παροιμίαι.
Καὶ τῶν προφητῶν πέντε βιβλία δέχου,
Οἱ δώδεκα μὲν ἐν ἑνὶ τῷ βιβλίῳ,
Ἀμὼς, Ὠσηὲ, Μιχαίας, Ἰωὴλ τε,
Ἰωνᾶς, Ὀβδιοὺ, Ναοὺμ, Ἀββακοὺμ τε,
Ὁ Σοφονίας, καὶ δέκατος Ἀγγαῖος.



Εἶτα Ζαχαρίας τε, καὶ Μαλαχίας.
Πρώτη μὲν αὕτη, δευτέρα δ᾽ Ἡσαΐας,
Ἔπειτα λαμπρὸν Ἱερεμίαν ἔχεις,
Ἰεζεκιὴλ, καὶ Δανιὴλ ὁ πέμπτος.
Γραφῆς παλαιᾶς αἵδε σοὶ βίβλοι φίλος.

Τῆς δὲ νέας διαθήκης αἱ βίβλοι.

Ἤδη δέ μοι μάνθανε καὶ γραφῆς νέας,
Εὐαγγέλιον Ματθαίου τε καὶ Μάρκου.
Τρίτον τοῦ Λουκᾶ, τέταρτον Ἰωάννου.
Λουκᾶ τε πράξεις τῶν σοφῶν Ἀποστόλων.
Ἐπιστολαὶ Παύλου δὲ τοῦ Θεηγόρου.
Πρὸς ταῖς δέκα τέσσαρες ἠκριβωμένως.
Ἑπτὰ δὲ πάλιν καθ᾽ ὅλης οἰκουμένης,
Τούτων μία μὲν ἣν Ἰάκωβος γράφει.
Δύο δὲ Πέτρος, τρεῖς δ᾽ Ἰωάννης πάλιν,
Ἡ δ᾽ ὑστέρα πέφυκεν Ἰούδα μόνη.
Ἔπειτ᾽ ἀποκάλυψις ἡ Θεολόγου.
Ἐκτὸς δὲ τούτων τῆς γραφῆς ἅπαν νόθον.

Οἱ καλλύναντες ἐν λόγοις ἐκκλησίαν.

Μέγας Διονύσιος Ἀρείου πάγου.
Μέγας Ἀθανάσιος Ἀλεξανδρείας.
Τὸ πνευματικὸν τοῦ Βασιλείου στόμα.
Ὁ Γρηγόριος νοῦς τῶν βροτῶν ἡ τερπνότης.
Γλῶττα μέλι ῥέουσα τοῦ Χρυσοστόμου,
Ἡ δαψιλής τε τοῦ Νύσσης πανδαισία.
Ὁ βαθύνους Κύριλλος Αἰγύπτου κλέος.
Καὶ λεπτὸς εἰς ἅπαντα Μαξίμου λόγος,
Ὁ τῆς κλίμακος ἡ μετάρσιος βάσις.
Νεῖλος προφανῶς καὶ τὸ τοῦ Νείλου στόμα.
Ὁ Σύρος Ἐφραὶμ ἡ κατάνυξις λόγων,
Πανηγυριστῶν πατερικὰ βιβλία,
Καὶ μεταφραστὴς ἡ γλυκύῤῥοος χάρις,
Ἐν οἷς πᾶσι πέφυκεν ὑπερεξέχων,
Ὁ χρύσεος ῥοῦς ἡ γλυκάζουσα βρύσις.
Ὡς ἄφθονον μάννα τε πάντας ἐκτρέφον.
Καὶ νέκταρ ἀθάνατον ἐκρέον πόσιν.

Οἱ τὰ μέλη πλέξαντες ὕμνων ἐνθέων.

Ἡ λύρα τοῦ πνεύματος Κοσμᾶς ὁ ξένος,
Ὀρφεὺς νεαρὸς ἡ Δαμασκόθεν χάρις,
Καὶ Θεόδωρος Ἰωσὴφ οἱ Στουδῖται.
Ὄργανα τὰ κράτιστα τῆς μουσουργίας.
Ξένη τε Σειρὴν Ἰωσὴφ ὑμνογράφος.
Μέλος παναρμόνιον Ἀνδρέας Κρήτης,
Καὶ Θεοφάνης ἡ μελιχρὰ κιννύρα,
Γεώργιος, Λέων τε, Μάρκος, Κασσία.

Τὰ φρικτὰ πάθη τοῦ Θεανθρώπου λόγου.

Δεσμὰ πρὸ παντὸς, καὶ παράστασις ξένη,
Πλήρεις δόλου μάρτυρες, ἡ κραυγὴ πάλιν,
Καὶ πτύσμα, καὶ ῥάπισμα, καὶ χλευασία,
Καὶ τὰ κολαφίσματα, σὺν φραγγελίῳ,
Ἡ πορφύρα, κάλαμος, ἀκανθῶν στέφος.
Εἶτα γονυπέτησις, ἡ παροινία,
Ὁ σταυρὸς, ἧλοι, καὶ γραφῆς τίτλος ἄνω,
Λόγοι τε πικροὶ, καὶ παροινία πάλιν,
Ὄξος, χολὴ, σπόγγος τε, κάλαμος πάλιν,
Λόγχη φρικώδης, καὶ ῥοὴ πλευρᾶς ξένη,
Ὕβρεις, γέλωτες, κλῆρος ἐν ἱματίοις,
Ἡ σμύρνα, σινδὼν, καὶ τάφος, κλεὶς, καὶ λίθος.

Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου
συνοπτικὴ σύνοψις ἁγίων χρόνου.

ΣΕΠΤΕΜΒΡΙΟΣ. Λ.

Ἐγὼ Συμεὼν, καὶ τὸν Μάμαντα φέρω.
Τὸν Ἄνθιμόν τε, Βαβύλαν, Ζαχαρίαν,
Χωνῶν Μιχαὴλ, καὶ τὸν σώζοντα λόγῳ.

Μητρὸς Θεοῦ γέννησιν, Ἄνναν, Εὐνέτην,
Τὴν Μηνοδώραν, συγγόνους Θεοδώρας,
Αὐτόνομον, μνείαν τε τῶν ἐγκαινίων,
Τὴν τιμίαν ὕψωσιν εὐθέος ξύλου.
Στερρὸν Νικήταν, τὸν μόρον Εὐφημίας,
Κλεινὴν Σοφίαν σὺν τρισὶ θυγατράσιν,
Εὐμένιον, Τρόφιμον, σὺν Εὐσταθίῳ,
Μύστην Κοδράτον, καὶ Φωκᾶν τὸν γεννάδαν
Τοῦ Προδρόμου σύλληψιν, Θέκλης ἀνδρεί-
Τὴν Εὐφροσύνην, παρθένον Ἰωάννην, (αν,
Καλλίστρατόν τε, καὶ Χαρίτωνος δρόμους,
Τὸν Κυριακὸν, καὶ Γρηγόριον θύτην.

ΟΚΤΩΒΡΙΟΣ ΛΑ.

Ἐμοὶ δὲ κόσμος ἡ στάσις Ἀνανίου,
Ὁ Κυπριανὸς, Διονύσιος μέγας,
Αὖθις Ἱερόθεος, ἡ Χαριτίνη,
Θωμᾶς ὁ διπλοῦς, Βάκχος ἅμα Σεργίῳ
Πελαγία τε, καὶ σοφὸς παῖς Ἀλφαίου
Εὐλάμπιος, Φίλιππος εἷς διακόνων.
Τάραχος, Πρόβος, καὶ Πάπυλος, σὺν Κάρ-
Στίφος Ναζαρίου δὲ, Λουκιανός τε, (πῳ
Λογγῖνος αὐτὸς, Ὠσηὲ, Λουκᾶς μέγας,
Βλέπων Ἰωὴλ, Ἀρτέμιος ὁ ξένος.
Ἱλαρίων μέγιστος, σὺν Ἀβερκίῳ,
Ἀδελφόθεος, σὺν συνάθλοις Ἀρέθας,
Νοτάριοί τε, καὶ Δημήτριος, Νέστωρ,
Ὁ κλεινὸς Τερέντιος, Ἀναστασία,
Καὶ Ζηνόβιος, ἡ χάρις Ἐπιμάχου.

ΝΟΕΜΒΡΙΟΣ. Λ.

Ἐγὼ δὲ χαίρω τοῖς δυσὶν ἀναργύροις,
Τοῖς ἀμφὶ Πηγάσιον, Ἀκεψιμᾶν τε,
Ἰωαννικίῳ δὲ καὶ Ἐπιστήμῃ,
Παύλῳ, σὺν Ἱέρωνι συνάξει νόων.
Ματρώνῃ, Ἐράστῳ τε, καὶ Βικεντίῳ,
Τοῖς Ἰωάνναις συμπαθεῖ, Χρυσοστόμῳ,
Μύστῃ Φιλίππῳ, σὺν δυάδι Γουρία,
Τῷ Ματθαίῳ τε, θαυμαστῷ Γρηγορίῳ.
Πλάτωνι Θείῳ, Ῥωμανῷ μαρτυρίῳ,
Τῷ Ἀββοῦ τε, Πρόκλῳ δεκαπολίτῃ,
Καὶ Παρθένῳ δὲ πρὸς ναὸν ἀφιγμένῃ,
Φιλήμονός τε τῇ καλῇ ξυναυλίᾳ,
Ἀμφιλοχίῳ συνάμ' Ἀκραγαντίνῳ.
Κ' Αἰκατερίνῃ τῇ σοφῇ, Μερκουρίῳ,
Πέτρῳ Κλήμη τε τοῖς θύταις, Ἀλυπίῳ,
Ἰακώβῳ Πέρσῃ τε, Στεφάνῳ νέῳ
Τῷ Παραμόνῳ τ', Ἀνδρέᾳ πρωτοκλήτῳ.

ΔΕΚΕΜΒΡΙΟΣ. ΛΑ.

Ἐγὼ δὲ Ναοὺμ, Ἀββακοὺμ, Σοφονίου,
Καὶ Βαρβάρας, Σάββα τε, καὶ Νικολάου,
Φέρω κατορθώματα σὺν Ἀμβροσίῳ.
Παταπίου θαύματα, σύλληψιν Ἄννης,
Εὔγραφον Μηνᾶν, Ἑρμογένους τὴν χάριν,
Στύλον Δανιὴλ, καὶ Σπυρίδωνος βίον.
Εὐστρατίου, Θύρσου τε τὰς ξυναυλίας,
Ἐλευθέριον, Ἀγγαῖον, προπάτορας,
Παῖδας Δανιὴλ, καὶ Σεβαστίνου στίφος.
Στερρὸν, Βονιφάτιον, σὺν Ἰγνατίῳ,
Ἰουλιανὴν, Ἀναστασίαν πάλιν,
Κρήτης δέκα μάρτυρας, τὴν Εὐγενίαν.
Ὑπερφυᾶ γέννησιν τοῦ Θεοῦ λόγου,
Κόρην, Ἰωσὴφ, καὶ τὸν Σάρδεων θύτην,
Πρωτοστέφανον σὺν γραπτοῖς δυσμυρίους,
Σφαγὴν νηπίων, Ἀνυσίαν, Μελάνην.



ΙΑΝΝΟΥΑΡΙΟΣ. ΛΑ.

Περιτομή με καὶ Βασίλειος μέγας,
Σίλβεστρος πάπας, καλλύνει Μαλαχίας,
Γόρδιος μύσαι, καὶ χορὸς Θεοπέμπτου,
Βάπτισμα Χριστοῦ, καὶ χεὶρ ἡ τοῦ προδρόμου.
Δομνίκα, Πολύευκτος, Γρηγόριος Νύσσης,
Μέγας Θεοδόσιος, Τατιανή τε,
Στρατόνικος, Ἕρμυλος, Ἀββάδων σίφος,
Ὁ Καλυβίτης, ἅλυσις Θείου Πέτρου,
Ἀντώνιός τε, συνάμ' Ἀθανασίῳ.
Ὁ πάνυ Μακάριος, σὺν Εὐθυμίῳ,
Μάξιμος Θεῖος, Ἀναστάσιος Πέρσης,
Κλήμης Ἀγαθάγγελος, ὁ ξένης βίος,
Γρηγόρος Θεολόγος τε, σὺν Ξενοφῶντι.
Πάλιν ὁ Χρυσόγλωττος, Ἐφραὶμ ὁ Σύρος,
Ἰγνατίου λείψανα, τρεῖς ἀρχιθύται,
Ἱππόλυτος, Κῦρός τε, σὺν Ἰωάννῃ.

ΦΕΥΡΟΥΑΡΙΟΣ. ΚΗ. ἢ ΚΘ.

Ἐμοί δε Τρυφὴ προσφυὴς μάρτυς Τρύ-
Ὑπαπαντή τε, Συμεὼν ὁ πρεσβύτης, (φων,
Εἶτ' Ἰσίδωρος, Ἀγάθη, καὶ Βουκόλος.
Ὁ Παρθένιος, ἡ δόσις στρατηλάτου.
Νικηφόρος μάρτυς τε, καὶ Χαραλάμπης,
Βλάσιος ἅμα, καὶ Μελέτιος πάλιν,
Μαρτινιανὸς, καὶ μόρος Αὐξεντίου.
Ὀνήσιμος, Πάμφιλος, Τήρωνος πόνοι,
Λέων πάπας, Ἄρχιππος, Καλάνης Λέ-
Τιμόθεος, λείψανα τῶν Εὐγενίου. (ων,
Πολύκαρπός τε, κεφαλὴ τοῦ Προδρόμου.
Ὁ Ταράσιος, καὶ Πορφύριος Γάζης,
Προκόπιός τε, καὶ Βασίλειος νέος,
Καὶ Κασσιανὸς μοναχὸς Ῥώμης κλέος.

ΜΑΡΤΙΟΣ. ΛΑ.

Εὐδοκίαν σοι, καὶ Θεόδοτον φέρω.
Τὸν Εὐτρόπιον, καὶ Γεράσιμον μέγαν,
Καὶ σὺν Κόνωνι, τεσσαράκοντα δύο.
Χερσῶνος Ἐφραὶμ, Θεοφύλακτον θύτην,
Καὶ τοὺς τεσσαράκοντα, πλῆθος Κοδράτου,
Τὸν Σωφρόνιον, τὸν ἀγροῦ Θεοφάνην,
Τὸν Νικηφόρον, καὶ Βενέδικτον λέγω.
Ὀλυμπᾶν, Ἀγάπιον, Σαβῖνον πάπαν,
Ἀλέξιον, Κύριλλον Αἰλίας θύτην
Χρύσανθον, σφαγὴν πατέρων λαύρας Σάβ-
Τὸν Ἰάκωβον, Βασίλειον Ἀγκύρας. (βα,
Νίκωνος σίφος, προεόρτια κόρης,
Εὐαγγελισμὸν τῆς τεκούσης τὸν λόγον.
Τὸν νῦν Γαβριὴλ, καὶ Ματρῶναν δυσμόθεν,
Ἀρεθούσης Μάρκον τε, Βαραχήσιον,
Τὸν Κλίμακός τε, καὶ μόριν Ὑπατίου.

ΑΠΡΙΛΛΙΟΣ. Λ.

Αἰγυπτίαν δ' ἔγωγε Μαρίαν ἔχω,
Τίτον, Ζωσιμᾶν, Νικήταν Μηδικίου,
Τὸν ὑμνογράφον Ἰωσὴφ, Ἀγαθόπουν,
Τὸν Εὐτύχιον, καὶ Γεώργιον Λέσβου
Πληθὺν Ἡρωδίωνος, σὺν Εὐψυχίῳ.
Τερεντίου σίφος δε, καὶ τὸν Ἀντύπαν,
Καὶ Βασίλειον, Ἀρτέμονα, Μαρτῖνον,
Τὸν Ἀρίσταρχον, Εἰρήνην, Χιονίαν.
Πέρσην Συμεὼν, καὶ τὸν ἐκ Γότθων Σάβ-
Παλαιολαυρίτην τε, Τριχινᾶ δόσιν (βαν,
Τὸν Ἰαννουάριον, καὶ Συκεώτην,
Γεώργιον, Σάββαν τε τοὺς στρατηλάτας.
Μάρκον, Ἀμασείας τε τὸν βασιλέα
Τὸν Συμεώνην συγγονῆ τοῦ Κυρίου,

SISMANOGLIO MEGARO

Ἰάσονα, Μέμνονα, τὸν Ζεβεδαίου.

ΜΑΙΟΣ. ΛΑ.

Κόσμος δ' ἐμοὶ μέγιστος Ἱερεμίας,
Μέγας Ἀθανάσιος, σὺν Τιμοθέῳ,
Ἡ Πελαγία μάρτυς, Εἰρήνης δρόμος
Ἰὼβ ὁ κλεινὸς, καὶ σταυροῦ τύπος ἄνω.
Ὁ βροντόφωνος, ἡ χάρις Ἀρσενίου,
Ἡσαΐας τε καὶ Σίμων ζήλου πλέως,
Μώκιος μάρτυς, Ἐπιφάνιος Κύπρου.
Ἡ Γλυκερία, καὶ στάσις Ἰσιδώρου,
Ὁ Παχώμιος, ἡγιασμένου δόσις.
Ἀνδρόνικος μύστης τε σὺν Θεοδότῳ,
Πράστης ὁ πατρίκιος, σὺν Θαλαλαίῳ.
Ὁ Κωνσταντῖνος, Ἑλένη, Βασιλίσκος,
Ὁ Συνάδων τε, σὺν τῷ Θαυματουργέτῃ,
Τρίτη κάρας εὕρεσις Προδρόμου, Κάρπος,
Θεράπων, Ἑλλάδιος, Θεοδοσία,
Ἰσαάκιος Δαλμάτων, καὶ Ἑρμείας.

ΙΟΥΝΙΟΣ. Λ.

Ἰουστίνου δὲ, καὶ σοφοῦ Νικηφόρου.
Καὶ Λουκιανοῦ, Μητροφάνους τοῦ θύτου,
Τοῦ Δωροθέου, Βησσαρίωνος πόνους.
Θεοδότου τε, καὶ χάριν Στρατηλάτου,
Ἔγωγε φαίνω Κυρίλλου, Τιμοθέου.
Τοῦ Βαρθολομαίου τε καὶ Ὀνουφρίου.
Ἀκυλίνης μάρτυρος, καὶ Μεθοδίου,
Ἀμὼς προφήτου. Τύχωνος ἐπισκόπου,
Τῶν ἀμφὶ Σαβὲλ, καὶ Λεοντίου τρόπους.
Ἰούδα κλεινοῦ, πατάρων Μεθοδίου,
Ἰουλιανοῦ μάρτυρος, Εὐσεβίου.
Τῆς Ἀγριππίνης, Προδρόμου, Φευρωνίας.
Δαβὶδ Θεσσαλοῦ, καὶ Σαμψὼν ξενοδόχου,
Ἰωάννου, Κύρου τε, Πέτρου καὶ Παύλου,
Τῶν δώδεκά τε τοῦ Χριστοῦ μυστηπόλων.

ΙΟΥΛΙΟΣ. ΛΑ.

Ἐμοὶ δὲ ῥῶσις ἡ δυὰς ἀναργύρων.
Ἐσθὴς Παναγνοῦ, καὶ βίος Ὑακίνθου,
Κρήτης Ἀνδρέας, Λαμπαδὸς, καὶ Σισώης,
Μαλαιῷ Θωμᾶς, καὶ Προκόπιος μέγας.
Παγκράτιος, μάρτυρες Νικοπολῖται,
Εὐφημία, Πρόκλος τε σὺν Ἱλαρίῳ.
Σαββαΐτης Στέφανος, μύστης Ἀκύλας,
Ἰουλίττα, Κήρυκος, Ἀθηνογένης,
Μαρίνα σεπτὴ, σὺν Αἰμιλλιανῷ τε.
Δῖος Μακρίνα, καὶ προφήτης Ἠλίας.
Σαλὸς Συμεὼν, Μαγδαληνὴ Μαρία.
Στίφος Τροφίμου, καὶ Χριστίνα, σὺν Ἄννῃ.
Ἑρμόλαος μάρτυς τε Παντελεήμων,
Τίμων, ὁ Καλλίνικος, Σιλουανός τε,
Δόκιμος Εὐδόκιμος ἐν βίῳ μέγας.

ΑΥΓΟΥΣΤΟΣ. ΛΑ.

Ἐγὼ φέρω δὲ τὴν στάσιν Μακκαβαίων.
Πρώταθλον αὖθις καὶ Φαῦστον, καὶ Δαλμάτον,
Παῖδας Ἐφέσου, τὴν σφαγὴν Εὐσιγνίου.
Χριστοῦ μεταμόρφωσιν ἐν Θαβωρίῳ,
Δομέτιόν τε, καὶ Κυζίκου τὸν θύτην,
Ματθίαν, Λαυρέντιον, Εὔπλου τὴν χάριν.
Τὸν Φώτιον, Μάξιμον, ἅμα Μιχαίᾳ.
Κοίμησιν ἁγνῆς, τὴν μετάστασιν λέγω.
Διομήδην, Μύρωνα, Φλῶρον καὶ Λαῦρον,
Στερρόν τ' Ἀνδρέαν, Σαμουὴλ Ἄννης γόνον
Μύστην Θαδδαῖον, Ἀγαθόνικον, Λοῦπον,
Τὸν Εὐτυχῆ τε, Τίτον, Βαρθολομαῖον,
Ἀδριανόν τε, καὶ ποιμένα τὸν μέγαν
Μωσῆν τὸν Αἰθίοπα. Προδρόμου μόρον,
Ἀλέξανδρον Παῦλόν τε, καὶ ζώνην κόρης.

SISMANOGLIO